645.2
2
137

SENTENTIAE ET REGVLÆ VITÆ EX GREGORII NAZANZENI SCRIPTIS COLLECTÆ.

Eiuſdem Iambi aliquot, nunc primùm in lucem editi:

Per Ioannem Sambucum Pannonium.



BIBLIOTECA NAZIONALE 1872 FIRENZE
BIBLIOTECA NAZIONALE FIRENZE

ANTVERPIÆ,
Ex officina Chriſtophori Plantini.
cIↄ. Iↄ. LXVIII.

SERENISSIMIS AC ILLVSTRISSIMIS

PRINCIPIBVS, MATTHIÆ, MAXIMILIANO, ALBERTO, VENCESLAO, Archiducibus Auſtriæ &cet. Cæſaris Maximiliani II. filijs, &c. Dominis ſuis clementiſsimis,

IOAN. SAMBVCVS.

CONSILIA, *humanæq; actiones præſertim principum virorum, Deus quos in ſpecula quaſi conſtituit alta, metu, diuinaq; ſapientia niti debent: qua moderatrice, cōuenienter virtutibus, ac naturæ; ea neglecta, moleſtè, aduerſeq; omnia ſuccedunt. Cæleſtium reuerentiam naturæ lumen ingeneraſſe no-*

*bis quãdam videtur: vt vel ab in-
tima religione gentes remotæ, eam
ſentiant: quod ipſum Philoſopho-
rum, Poëtarum, Hiſtoricorumq́;
monumenta ſatis oſtendunt. Sed
cognationem illam maiorum gen-
tium, qua Chriſti nos patrimonio
adoptatos, noxiam illius morte con
donatam, remiſſamq́; magno eiuſ-
dem præconio profitemur, haud illi
rectè, neque ſcriptis ſuis complexi
ſunt, neq; exemplis prodidere. Scri
bant quamuis Philoſopha, & eru-
dita illi, vel ad naturæ obſcuritatẽ
aperiendam, vel vitæ morumq́;
formandorum rationem ſubtiliter
accommodateq́; illuſtrandam, ἄ-
νευ γε θεοῦ πόνος κενὸς, ac ſine fructu
ſpem eludet inanem. Itaque va-*

leat illud: Initium ſapientiæ timor Domini: quo auctore, cuncta læta & ampla, non vana & triſtia euenire ſolent: vt hic quoq; Theologus in ipſo aditu theſauri, tanquàm τηλαυγές τι πρόσωπον προσεφώνησεν· ἀρχὴν ἁπάντων, καὶ τέλος ποιοῦ θεόν. *ex quibus illud Menandri extat:* ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. *Ac ſanè multa huius argumenti, tum veterum, tum recentiorum ſcripta in vulgus exierunt: quibus de vitæ nos huius afflictæ conditione, moribus atque caſibus luculentè docerent; verùm tamen, quæ de iuſta diuinorum cognitione hauſta ſunt, perpetuorumq; conſcientia, & ſpe proficiſcuntur; certitudine ſunt munita,*

 non

non opinationibus, ambagibusq́;
diducta aut imbuta falſis. Quo-
circa pietas cum moribus iuuentu-
ti eſt proponenda, excitandum in
heroicis animis ſtudium, atq; exem
plis importandum. Quare poſt cõ-
ſecratos illos, quibus fidei, religio-
nisq́; cõſenſus caput, & ſummam
meritò ſemper detulit, libros, pluri-
mum Nazanzeno auctoritatis in
Eccleſia Dei fuit, qui verbis non
copioſus, cuiuſuis alius redundan-
tiam ſuperauit, verbisq́; ſingulis,
quod vehementer laudandũ puto,
ſingulas penè ſententias, eleganter
puréq. dixerit. Cuius ego præcipuas
γνώμας ϗ χρήσεις omni ſtudio, me-
moriáque dignas, vnà cum alijs
nondum vſpiam editis, tanquam
reli-

reliquorum ſpecimine, vobis, Illuſtriſſimi Archiduces, dico, vt quos ſciā ab indole auita, parentibusq. accepta præclara, & iſto idonea loco (ſi quidem, vt illud Hippocratis inuertam; φύσις ξυμπρατλούσης πάντα καρποῦται.) Domini Augerij Buſpekh, genere legationibusq. nobili, moribus & aulæ veſtræ præfecto, atque Nicolao à Coret, doctiſſimo viro, præceptore veſtro, ad linguarum admirationē, ſtudiumque excitari, Græcè in primis: cuius opes atque vſum nullū elogium emetiretur. Accipite igitur, benigno patrocinio, clementiq. voluntate à clientulo veſtro, iſtud munuſculum: quorum exemplo, in omnium manibus & memoria hærebit.

Verſionem, ſimiliumq́; locorum παραγραφὰς adieciſſem, niſi id viuorum eſſet magiſtrorum præſtare, niſiq́; diſcuperem, in ſcholis Græca aliter vigerent, plana, faciliaq́; eſſent verba; atq; prophani, non diuinorũ ſcriptores accumulatione ſententiarũ, auctoritateq́; indigerent. Stylum verò meum Latinum, à quo nec ingenio neq; exercitatione vnquàm abhorrui, eum minimè agnoſcerem, qui excolere veſtra colloquia, lectionesq́; iuuare poßit: qui tamen volet, per me Latina faciet. Hæc Illuſtriß. Principes ſi vobis grata eſſe, quod valde optarim, ſenſero: Chryſoſtomeorum non dißimilis alterius cuiuſdam ἀριθμολογικὴ συλλογὴ, & Iambi

omnes Gregorij nondum cogniti, Σὺν θεῷ, & alia conſequētur: quorum me clementiæ, meáq. omnia humiliter commendo, veſtrámque diſciplinam & progreſſus, omnémque vitam, vt beatè ſalutaritérque Deus gubernet, etiam atque etiam eundem ſupplex oro. Viennæ Non. April. 1568.

Τοῖς ἐντυγχάνουσι τῷ βιβλίῳ τούτῳ.

Γρηγορίου λειμὼν ἁγίου πέλω ἀγλαόκαρπος·
Εἴσιθι δρεψόμενος τῆς ἀρετῆς στέφανον.
Εἰ πίσυρες τοῖοι νῦν ἐν χθονὶ ἀνέρες εἶεν,
Οὔποτε Χριστιανῶν ἦρξαν ἂν αἱρετικοί.

Γεράρτου τοῦ Φαλκεπυργείου νεομαγέως.

ΣΥΝΑΓΩΓΗ ΧΡΗΣΕΩΝ ΑΠΟ ΔΙΑ-φόρων λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου· ἐν αἷς κεῖται κεφάλαια τὸν ἀριθμὸν κδ΄. ἐν οἷς καὶ ὑποκεφάλαια.

Περὶ τοῦ δεῖν ἀεὶ μεμνῆσθαι θεοῦ.

ἐκ τῆς ἀκροστιχίδος τῶν κδ΄. στοιχείων.

Αρχην ἁπάντων καὶ τέλος ποιοῦ θεόν.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Τάξις ἀρίστη παντὸς ἀρχομένου καὶ λόγου καὶ πράγματος ἐκ θεοῦ τε ἄρχεσθαι καὶ εἰς θεὸν ἀναπαύεσθαι.

ἐκ τοῦ πρὸς εὐνομιανοὺς λόγου.

Μνημονευτέον γὰρ θεοῦ μᾶλλον ἢ ἀναπνευστέον. καὶ εἰ οἷόν τε εἰπεῖν, μὴ δὲ ἄλλό τι ἢ τοῦτο πρακτέον.

Περὶ τοῦ μὴ δεῖν κρίνειν. καὶ περὶ κακίας καὶ φθόνου.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις ὡς τὸ λαλεῖν τὰ ἀλλότρια καὶ μάλιστα ἐὰν τύχωσιν ὑπὸ εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι· ὑφ' ὧν καὶ φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια.

ἐκ τοῦ

ἐκ τοῦ περὶ υἱοῦ πρώτου λόγου.

Τὸ γὰρ ἐπιτιμᾶν οὐ μέγα, ῥᾷστον γὰρ καὶ τοῦ βουλομένου παντός. τὸ δὲ ἀντιστῆσαι τὴν ἑαυτοῦ γνώμην ἀνδρὸς εὐσεβοῦς καὶ νοῦν ἔχοντος.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Βραδεῖς μὲν εἰσιν οἱ πλείους τῶν ἰδίων κριταί. ταχεῖς δὲ τῶν ἀλλοτρίων ἐξετασταί. καὶ ῥᾷον ἂν ἄλλοις τὰ μέγιστα ἢ τὰ ἐλάχιστα ἡμῖν συγχωρήσαιμεν· κἂν ὦσιν ἀμαθέστεροι. θᾶττον ἂν ἡμῶν ἀσέβειαν καταγνοῖεν ἢ μετρίαν ἑαυτῶν ἄγνοιαν.

ἐκ τοῦ εἰς Γρηγόριον τὸν νύσσης λόγου.

Τοῦτο γὰρ ὁρῶ πολλοὺς τῶν νῦν κριτῶν πάσχοντας, οἳ ῥᾷον ἂν τοῖς ὑψηλοῖς τὰ μέγιστα συγχωρήσαιεν ἢ τοῖς ταπεινοῖς τὰ ἐλάχιστα.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Πάντες δὲ ἐσμὲν εὐσεβεῖς ἐξ ἑνὸς μόνου, τοῦ καταγινώσκειν ἄλλων ἀσέβειαν.

ἐκ τοῦ εἰρηνικοῦ β΄. λόγου.

Ὡς ἔστι τῆς ἄκρας κακοδαιμονίας μὴ ἐν τοῖς ἰδίοις ἰσχυροῖς τὸ ἀσφαλὲς ἔχειν ἀλλ᾽ ἐν τοῖς ἑτέρων σαθροῖς.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ πρώτου λόγου.

Πρόχειρος γὰρ ἡ πονηρία τοῖς κακοῖς μᾶλλον ἀκολουθεῖν ἢ ὑπὸ τοῦ κρείττονος ἀνακόπτεσθαι.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ β΄. λόγου.

Εὔλογον γὰρ εἰς ἀπάτην τὸ πρὸς ἡδονὴν ἅπαν.

ἐκ τοῦ

ἐκ τοῦ εἰρηνικοῦ β΄. λόγου.

Φύσει μὲν γὰρ προχειρότερον ἡ κακία καὶ πολὺς ἐπὶ τὸ χεῖρον ὁ δρόμος· ῥοῦς κατὰ πρανοῦς τρέχων. ἢ καλάμη τίς πρὸς πῦρ ἀνθηρὰ καὶ ἄνεμον, ῥᾳδίως ἐξαπτομένη. καὶ γινομένη φλὸξ καὶ συνδαπανωμένη τῷ οἰκείῳ γεννήματι. φλὸξ γὰρ ὕλης γέννημα, καὶ δαπανᾷ τὴν ὕλην ὡς τοὺς κακοὺς ἡ κακία, καὶ τῇ φλογὶ συναπέρχεται.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Δύσληπτον μὲν γὰρ τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει ὥσπερ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ. ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι. καλάμη τὶς πρὸς πῦρ ἀνθηρὰ οἶμαι καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη καὶ δαπανωμένη διὰ ξηρότητα. θᾶττον γάρ τις ὀλίγης κακίας μεταλάβοι πλουσίως ἢ ἀρετῆς βαθείας κατὰ μικρόν· ἐπεὶ καὶ μέλιτι μὲν μικρὸν ἀψίνθιον ὡς τάχιστα μεταδίδωσι τοῦ πικροῦ· μέλι δὲ οὐδὲ τὸ διπλάσιον ἀψινθίῳ τῆς ἑαυτοῦ Γλυκύτητος. καὶ μικρὰ μὲν ὑποσπασθεῖσα ψηφὶς, ποταμὸν ὅλον ἑλκύσειεν ἂν ἐπὶ τὸ πρανές. ἐπισχεῖν δὲ ἀνακόψαι μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον ἔρυμα.

ἐκ τοῦ εἰρηνικοῦ β΄. λόγου.

Μυῖαι σαπριοῦσιν ἔλαιον ἐννεκρούμεναί τε καὶ ἐνσηπόμεναι. τὰ δὲ καλὰ ὁ φθόνος βουλήσεται μὲν, οὐ δυνήσεται δέ. πάντων γὰρ ἰσχυρότατον, ὡς τῷ Εσδρᾳ, κἀμοὶ δοκεῖ, ἡ ἀλήθεια.

ἐκ τοῦ

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας κωνσταντινουπόλεως.

Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος· ἡ δαπάνη τῶν ἐχόντων· ὁ τῶν παχόντων ἰός· τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε καὶ δικαιότατον. τὸ μὲν ὅτι πᾶσι δυοχλεῖ τοῖς καλοῖς. τὸ δὲ ὅτι τήκει τοὺς ἔχοντας.

Περὶ πονηρίας, καὶ ὅτι οὐ δεῖ ἐξ ὑπολήψεως ἐκ τῶν ἑαυτοῦ τὰ τοῦ πλησίον κρίνειν.

ἐκ τοῦ εἰς τὴν τῶν ρν´. ἐπισκόπων παρουσίαν λόγου.

Πάντα ἂν οἱ τεχνικοὶ περὶ ἄλλων τὰ ἑαυτῶν τὰ μὲν ὑπονοήσαιεν τὰ δὲ εἴποιεν.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Οὐ μὴν οὐδ᾽ ὅπερ ἂν ὑπολάβοι τις ἴσως τῶν πάντα ἀτόπων καὶ μοχθηρῶν· οἳ κρίνουσι τὰ τῶν ἄλλων τοῖς οἰκείοις πάθεσιν ᾐσχύνθη τοῦ βαθμοῦ τὴν τάξιν ἐπιθυμία τοῦ μείζονος.

ἐκ τοῦ κατὰ Ιουλιανοῦ στηλιτευτικοῦ πρώτου λόγου.

Ἀλλ᾽ ὄντως ἀσυλλόγιστον πρᾶγμα ἡ πονηρία· καὶ οὐκ ἔστιν ᾧ τοὺς μοχθηροὺς ἄν τις βελτίους ποιήσειεν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οντως εὐάλωτόν ἐστιν ἡ πονηρία, καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα.

Περὶ τοῦ μὴ δεῖν διαβάλλειν τὴν ἀρετήν. καὶ περὶ νωθρότητος καὶ φθόνου.

Οὐδ᾽ ἂν πείσαιμι λέγων ὅσοις καὶ ἐν γέλωτι τὸ τῆς ἡσυχίας πρᾶγμα δοκεῖ, κακῶς διατεθεῖσιν· εἴτε ὑπὸ τῆς ἰδίας αὐτῶν ἀνοίας, εἴτε ὑπὸ τῶν

ἀναξίων τοῦ ἐπαγγέλματος. οἳ πράγματι καλῷ κακὸν διατεθείκασιν ὄνομα τῇ φιλοσοφίᾳ, τὴν κενοδοξίαν συνεργὸν λαβόντες τὸν φθόνον καὶ τὴν τῶν πολλῶν κακίαν πρὸς τὸ χεῖρον οὖσαν ἑτοιμοτέραν, ἵν' ἕν γέ τι πάντως αὐτοῖς ἁμαρτάνηται ἢ τὸ καλὸν ἐνεργούμενον ἢ τὸ καλὸν ἀπιστούμενον.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Τὸ γὰρ οὐκ ἐφικτὸν οὐδὲ πιστόν πως διὰ τὸν φθόνον. ψυχαῖς γὰρ βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Ἀλλ' οἶμαι τὸ τοῦ ἤθους βεβηκὸς καὶ ἀπεξεσμένον τῦφον ὠνόμασάν τινες, οἳ δ' αὐτοί μοι δοκοῦσι ῥαδίως ἂν καὶ τὸν ἀνδρεῖον καλέσαι θρασὺν, καὶ δειλὸν τὸν περιεσκεμμένον· καὶ τὸν σώφρονα μισάνθρωπον· καὶ τὸν δίκαιον ἀκοινώνητον. παραπεπήγασι γάρ πως ταῖς ἀρεταῖς αἱ κακίαι ὥς τινες πεφιλοσοφήκασι· καὶ εἰσίπως ἀγχίθυροι καὶ ῥᾶστον ἄλλο τι ὄντα ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Αἱ μὲν γὰρ ἀσθενεῖς φύσεις καὶ πρὸς ἀρετὴν καὶ πρὸς κακίαν ὁμοίως εἰσὶ νωθεῖς καὶ δυσκίνητοι. οὐδετέρωσε μέγα νεύουσαι οἷα τὰ τῶν ναρκώντων κινήματα· αἱ γενναῖαι δὲ. λόγου μὲν αὐτὰς παιδαγωγοῦντος καὶ διευθύνοντος μέγα τι χρῆμα πρὸς ἀρετήν· ἐπιλειπούσης δὲ ἐπιστήμης τὸ ἴσον εἰς κακίαν εὑρίσκονται. θράσος γὰρ ἀμαθίας ἔγγονον.

ἐκ τοῦ

ἐκ τοῦ αὐτοῦ λόγου.

Ὁμοίως γὰρ ἄχρηστα καὶ νωθρότης ἄπρακτος καὶ θερμότης ἀπαίδευτος· ἡ μὲν οὐκ ἐγγίζουσα τοῦ καλοῦ, ἡ δὲ ὑπερπίπτουσα, καὶ τοῦ δεξιοῦ ποιουμένη τὸ δεξιώτερον. ὅπερ καὶ ὁ θεῖος Σολομὼν καλῶς ἐπιστάμενος, μὴ ἐκκλίνῃς, φησὶ, εἰς τὰ δεξιὰ, μὴ δὲ εἰς τὰ ἀριστερά. μὴ δὲ διὰ τῶν ἐναντίων εἰς κακὸν ἴσον πέσῃς τὴν ἁμαρτίαν.

ἐκ τοῦ εἰρηνικοῦ α΄. λόγου.

Οὔτε νωθέστερον εἶναι τοῦ μετρίου καλὸν οὔτε θερμότερον ὡς ἡ δι' εὐκολίαν πᾶσι συμφέρεσθαι· ἢ δι' ἀταξίαν πάντων ἀποστατεῖν. ὁμοίως γὰρ καὶ τὸ νωθὲς ἄπρακτον καὶ τὸ εὐκίνητον ἀκοινώνητον.

Περὶ ταπεινοφροσύνης καὶ συμπαθείας, καὶ ὁποίους εἶναι δεῖ τοὺς Διδασκάλους.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Τὸ μὲν γὰρ ἁπαλὸν ἔκλυτον καὶ μαλακίζον· τὸ δὲ αὐστηρὸν τραχύνον καὶ αὐθαδιάζον. ἀμφοτέροις οὖν δεῖ βοηθεῖν δι' ἀλλήλων. ἐπιεικεία μὲν τὸ ἀντιτυπὲς στερρότητι δὲ τὸ ἁπαλὸν κερασάμενος. ὀλίγα μὲν λόγου προσδεῖσθαι· ἔργῳ δὲ τὰ πλείω δύνασθαι πρὸς τὴν θεραπείαν.

ἐκ τοῦ εἰς τὰ φῶτα λόγου.

Ὁμοίως γάρ ἐστι κακὸν καὶ ἄνεσις ἀσωφρόνιστος καὶ κατάγνωσις ἀσυγχώρητος· ἡ μὲν ὅλην ἐφιεῖσα τὴν ἡνίαν· ἡ δὲ τῷ σφοδρῷ κατάγχουσα.

ἐκ τοῦ

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῇ ἰδίᾳ νουθετημάτων πλήθοις καταγνώσει σωφρονιζόμενοι. οἱ δὲ πρὸς τὴν ἐλευθερίαν τῶν ἐλέγχων ἀναισχυντεῖν, τῷ τῆς ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι· καὶ ἀντιδιδόντες τῆς συμπαθείας τὴν εὐπείθειαν.

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ τὸν λαὸν λόγου.

Ὧν γὰρ κοινὸν τὸ πνεῦμα κοινὸν καὶ τὸ πάθος· οἷς δὲ τὸ πάσχειν ἴσον. ἴσον καὶ τὸ πιστεύειν. ὃ γὰρ μή τις πέπονθεν οὐδ' ἂν ἑτέρῳ πιστεύσειεν. ὁ δὲ παθὼν εἰς συγκατάθεσιν ἑτοιμότερος· καὶ μάρτυς ἀόρατος ἀοράτου πάθους μορφῆς ἀλλοτρίας οἰκεῖον ἔσοπτρον.

βασιλείου ἐκ τοῦ πρὸς τοὺς λέγοντας ἡμᾶς τρεῖς θεοὺς ἔχειν, λόγου.

Φέρει γὰρ παραμυθίαν ὀδυρομένοις ἡ κοινωνία τῶν στεναγμῶν.

Γρηγορίου ἐκ τοῦ εἰς καισάρειον τὸν ἀδελφὸν ἐπιταφίου.

Μέγα γὰρ παρὰ τῶν συναλγούντων φάρμακον, οἱ γὰρ τὸ ἴσον τοῦ πάθους ἔχοντες πλέον εἰσὶν εἰς παραμυθίαν τοῖς πάσχουσιν.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Τὸ μὲν γὰρ ἀνάλγητον εὔθυμον. τὸ δὲ συμπαθὲς λυπηρόν. καὶ τῆξις καρδίας ἔμμονος λογισμός.

ἐκ τοῦ εἰς ἥρωνα τὸν φιλόσοφον λόγου.

Φιλεῖ γὰρ μάλιστα κάμπτεσθαι τὸ περιέχον

πρὸς τὸ ἀσθενές· καὶ δι' εὐνοίας ἑκουσίως τοῦ ἐλαττουμένῳ προστίθεσθαι.

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας κωνσταντίνου πόλεως.

Ἔργον γὰρ λόγου φησὶν ἰσχυρότερον.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ δευτέρου λόγου.

Πεφύκασι γὰρ οἱ πλεῖστοι εὐνούστεροι πῶς εἶναι τοῖς ἔτι προσφάτοις πάθεσι, τῷ φίλτρῳ προσστάζοντες καὶ τὸν ἔλεον τούτῳ προσάπτοντες.

ἐκ τοῦ εἰς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας λόγου.

Θεραπεύεται μὲν γὰρ τὸ ὑψηλόν. ἀτιμάζεται δὲ τὸ θεοῦ ταπεινούμενον. οὕτως εὐκαταφρόνητον ἅπαν τὸ ῥαδίως νικώμενον.

ἐκ τοῦ εἰρηνικοῦ πρώτου λόγου.

Οὐ γὰρ μακροτέρων δεῖ λόγων τοῖς πείρᾳ πεπαιδευμένοις.

Περὶ ἀρετῆς καὶ κακίας. καὶ ὅτι δύσληπτον ἡ ἀρετή.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανὸν λόγου.

Οὐ γὰρ ἔστι μέγα τύπον ἀγαθοῦ διασώσασθαι ὡς τὸ καινοτομεῖσθαι θεοσέβειαν. τὸ μὲν γὰρ τῆς συνηθείας· τὸ δὲ τῆς εὐβουλίας· καὶ τὸ μὲν τῶν πολλοῖς ὑπαρχόντων· τοῦ δὲ ὀλίγα τὰ παραδείγματα.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Ῥᾶον γὰρ ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι κακίᾳ καὶ προσιοῦσαν διαφυγεῖν· ἢ προσβαίνουσαν ἀνακόψαι

κόψαι καὶ φανῆναι ταύτης ἀνώτερον· ὥσπερ καὶ πεῖραν ἀπ' ἀρχῆς αἱρῆσαι καὶ κατασχεῖν ἢ φερομένην ἀνασώσασθαι.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ β'. λόγου.

Ῥᾶον ἐστὶν εὐπραγίαν ἀπελθοῦσαν ἀνακαλέσασθαι, ἢ παραγινομένην ἐκ θεοῦ διασώσασθαι. τὸ μὲν γὰρ τὸ σωφρονεῖν ἐπανάγει· τὴν δὲ διαλύει τὸ ῥᾴθυμον.

ἐκ τοῦ εἰρηνικοῦ γ'. λόγου.

Ῥᾶον ἐστὶ δυσπραγίαν ἐνεγκεῖν ἢ εὐπραγίαν ἀνασώσασθαι.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ δευτέρου λόγου.

Τῷ ὄντι γὰρ κινδυνεύει χαλεπώτερον εἶναι τὸ κατασχεῖν τὰ ἀγαθὰ τοῦ μὴ παρόντα κτήσασθαι καὶ ῥᾶον ἀπελθοῦσαν εὐημερίαν ἀνακαλέσασθαι δι' ἐπιμελείας, ἢ τὴν ὑπάρχουσαν διασώσασθαι. καὶ πρὸ μὲν συντριβῆς ἡγεῖται ὕβρις, αἱ παροιμίαι καλῶς φασὶν· πρὸ δὲ δόξης ταπείνωσις· ἢ ἵνα σαφέστερον εἴπω, ὕβρει μὲν ἕπεται συντριβή, ταπεινώσει δὲ εὐδοξία. κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται· ταπεινοῖς δὲ δίδωσι χάριν. καὶ ἀντεισάγει τὰ ἐναντία τοῖς ἐναντίοις ὁ πάντα δικαίως ἀντιμετρῶν.

ἐκ τοῦ εἰς τὸ ἅγιον βάπτισμα λόγου.

Τῆς γὰρ αὐτῆς ἐστι δυσχερείας· καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον· καὶ κτηθὲν

διασώσασθαι· πολλάκις γὰρ ὃ μὲν σπουδὴ προσέλαβε, ῥαθυμία διέφθειρεν. ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια.

Περὶ τοῦ ὁποῖον δεῖ εἶναι τὸν προεστῶτα.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Καλὸν γὰρ μή τε ἁμαρτάνοντα, μή τε ὑπονοούμενον, ἕως ἂν οἷός τε ἢ καὶ ὁ λόγος αἴρῃ τιθέναι πρόσκομμα τοῖς πολλοῖς ἢ σκάνδαλον.

βασιλείου εἰς τὸν α΄. ψαλμὸν λόγου.

Αἱ γὰρ κατὰ τὸν βίον λαμπρότητες συνεμφανίζουσιν ἑαυταῖς καὶ τοὺς βίους τῶν περιβλέπτων. καὶ στρατιῶται μὲν ὡς τὰ πολλὰ τοῖς στρατοπεδάρχαις ἐξομοιοῦνται. οἱ δὲ ἐν ταῖς πόλεσι δῆμοι ζηλοῦσι τοὺς ἐν δυνάμει. τὸ γὰρ ἐν κακίᾳ περίβλεπτον πολλοὺς εἰς τὸν ὅμοιον τῶν εὐολισθήτων ἐφέλκεται.

τοῦ αὐτοῦ εἰς τὴν ἀρχὴν τῶν παροιμιῶν.

Ἀξιοπιστία γὰρ τοῦ διδάσκοντος εὐπαράδεκτον μὲν τὸν λόγον καθίστησι. προσεχεστέρους δὲ τοὺς διδασκομένους παρασκευάζει.

Γρηγορίου ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Οὐ γὰρ οὕτως οὔτε δυσεκπλύτου βαφῆς μεταλαμβάνει ῥαδίως ὕφασμα· οὔτε δυσωδίας ἢ τοῦ ἐναντίου τὸ πλησιάσαν· οὔτε νοσερά τις εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζώοις ἀτμίς. ὃ δὴ λοιμὸς ἐστί τε καὶ ὀνομάζεται. ὡς φιλεῖ τάχιστα τῆς τῶν προεστώτων κακίας ἀναπίμ-

πίμπλαϲθαι τὸ ὑπήκοον καὶ πολλῷ γε ῥᾷον ἢ τῆς ἐναντίας τῆς ἀρετῆς, εὐζήλωτον γάρ τι καὶ πρόχειρον πρᾶγμα ἡ πονηρία, καὶ οὐδὲν οὕτω ῥᾴδιον ὡς τὸ γενέσθαι κακόν· καὶ εἰ μὴ τύχει πρὸς ταύτην ἡμᾶς ἄγων μηδεὶς· σπάνιον δὲ ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, καὶ εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ παρακαλούμενον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Ἰδιώτου μὲν γὰρ ἀρετὴ τὸ μὴ κακὸν εἶναι ἤ τι καὶ ποσῶς ἀγαθόν. ἄρχοντος δὲ καὶ προστάτου κακία καὶ μάλιστα τῆς τοιαύτην ἀρχὴν, τὸ μὴ πολὺ τῶν πολλῶν προέχειν, μὴ δὲ ἀεὶ κρείττω φαίνεσθαι· μὴ δὲ συμμετρεῖν τῇ ἀξίᾳ καὶ τῷ θρόνῳ τὴν ἀρετὴν, μόλις γὰρ εἶναι τῷ ἄκρῳ τοῦ μέσου κατατυγχάνειν· καὶ τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Ἰδιώτου μὲν γὰρ ἡγεῖσθαι κακίαν εἶναι φημὶ τὸ φαῦλα πράσσειν καὶ ὅσα κολάσεως ἄξια, ὧν καὶ ὁ νόμος βαρὺς δεσπότης. ἄρχοντος δὲ ἢ προεστῶτος τὸ μὴ ἄριστον εἶναι καὶ ἀεὶ τῷ καλῷ προβαίνοντα. εἴπερ μέλλοι τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον· καὶ μὴ βίᾳ καθείρξειν, ἀλλὰ πειθοῖ προσάξεσθαι· τὸ μὲν γὰρ ἀκούσιον πρὸς τῷ τυραννικὸν εἶναι καὶ οὐκ ἐπαινετὸν οὐδὲ μόνιμον. φιλεῖ γὰρ τὸ βιασθὲν ὥσπερ φυτὸν βίᾳ χερσὶ μεταασπώμενον εἰς ἑαυτὸ πάλιν ἀφεθὲν

ἀναδέχειν· τὸ δὲ ἐκ προαιρέσεως ἐννομώτατόν τε ἅμα καὶ ἀσφαλέστατον, εὐνοίας δεσμῷ τηρούμενον.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ὑψηλῷ μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσι, μὴ δὲ εἰς πλείους διατείνειν τὴν ἀρετήν· ἀλλ' ἐπὶ μικρῶν ἵστασθαι οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα· ἢ πανοπλία νεανικῇ σῶμα παιδικὸν περισκέποντα· μικρῷ δὲ ἀσφάλεια μικρὰ φορτίζεσθαι· ἀλλὰ μὴ τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτά τε ὀφλισκάνειν ὁμοῦ καὶ προστιθέναι τὸν κίνδυνον.

ἐκ τοῦ εἰς τοὺς μακκαβαίους λόγου.

Τὸ γὰρ τῶν μαθητῶν δήπου τῷ διδασκάλῳ λογίζεσθαι, τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Ῥᾷον κακίας μεταλαβεῖν ἢ ἀρετῆς μεταδοῦναι, ἐπεὶ καὶ νόσου μεταχεῖν μᾶλλον ἢ ὑγείαν χαρίσασθαι.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ῥᾷόν τι καταλῦσαι τῶν καθεστώτων ἢ καταλυθὲν ἐπαναγαγεῖν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ἅπτεται γὰρ οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος ὡς μόνου εἶναι θεοῦ τὰ παντελῶς ἄπταιστον καὶ ἀνάλωτον πάθεσιν.

ἐκ τοῦ

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανὸν λόγου.

Ψαύουσι γὰρ ὀφθαλμοὶ λίχνοι καὶ τῶν ἀψαύστων, τὸ προχειρότατον ὄργανον καὶ ἀπληστότατον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Οὐ γὰρ μικρὸν τοῖς σπουδαίοις κἂν μικρὰ τῶν μεγίστων ἡ μίμησις.

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας κωνσταντινουπόλεως.

Ο μὲν γὰρ τινὸς ἕνεκεν τὸ καλὸν ἐπιτηδεύων οὐ βέβαιος εἰς ἀρετήν. ὁμοῦτε γὰρ παρῆλθεν ἐκεῖνο, καὶ τοῦ καλοῦ στήσεται· ὥσπερ ὁ κέρδους ἕνεκεν πλέων τὸ πλεῖν ἂν μὴ παρῇ τὸ κερδαίνειν, ὁ δὲ αὐτὸ δι' ἑαυτὸ τιμῶν τε καὶ περιέπων· ἐπειδὴ τοῦ ἑστῶτος ἐρῶ ἑστῶσαν ἔχει. καὶ τὴν περὶ αὐτὸ προθυμία ὥς τε θεῖόν τι πάσχων καὶ τὸ τοῦ θεοῦ δύναται λέγειν, ἐγὼ δὲ ὁ αὐτός εἰμι καὶ οὐκ ἠλλοίωμαι. οὔκουν μεταποιηθήσεται οὐδὲ μετατεθήσεται· οὐδὲ συμμεπεσεῖται τοῖς καιροῖς καὶ τοῖς πράγμασιν· ἄλλό τε ἄλλος γινόμενος καὶ πολλάς γε μεταλαμβάνων χρόας· ὥσπερ τὰς τῶν πετρῶν οἱ πολύποδες αἷς ἂν ὁμιλήσωσι. μένει δὲ ὁ αὐτὸς ἀεὶ πάγιος ἐν οὐ πεπηγόσι· καὶ ἐν στρεφομένοις ἄστρεφος πέτρα τίς οἶμαι πρὸς ἐμβολὰς ἀνέμων τε καὶ κυμάτων· οὔτε τινασσομένη, καὶ δαπανῶσα περὶ αὐτὴν τὰ προσπίπτοντα.

ἐκ τοῦ χ[ριστοῦ] Ἰουλιανοῦ στηλιτευτικοῦ λόγου πρώτου.

Οὐ γὰρ τὰ αὐτὰ βασιλεῦσι καὶ ἰδιώταις πρέπειν ὑπολαμβάνομεν· ὅτι μὴ δὲ τῆς αὐτῆς ἀξίας ἀμφότεροι. ἰδιώτῃ μὲν γὰρ καὶ τεχνικῶς πράττειν συγχωρήσωμεν. ᾧ γὰρ τὸ φανερῶς βιάζεσθαι μὴ δυνατόν. τούτῳ συγγνωστὸν τὸ τῆς ἐπινοίας, βασιλεῖ δὲ τοῦ δυνάμει κρατεῖσθαι λίαν αἰσχροῦ τυγχάνοντος· ἔτι αἴσχιον οἶμαι καὶ ἀπρεπέστερον τὸ τέχνῃ κλέπτειν τὰς ἐγχειρήσεις καὶ τὰ προκείμενα.

ἐκ τοῦ εἰς τὴν τῶν ρν'. ἐπισκόπων παρουσίαν διὰ τὰ χ[ριστοῦ] μάξιμον καὶ τοὺς πνευματομάχους.

Τῶν γὰρ φιλοσοφούντων περὶ θεοῦ· οἱ μὲν πάντῃ κρύφιον καὶ λανθάνουσαν ἔχουσιν ἐν ἑαυτοῖς τὴν εὐσέβειαν. οἱ δὲ τὴν ὠδῖνος ἐγγὺς ὅσοι τὸ μὲν ἀσεβὲς φεύγουσι τὸ δὲ εὐσεβὲς οὐ παρρησιάζονται. εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι περὶ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγοντες, ἀλλὰ τὴν μὲν διάνοιαν ὑγιαίνουσιν, ὥς φασι, τὸν λαὸν δὲ οὐχ ὑγιάζουσιν, ὥσπερ ἑαυτῶν οὐκ ἄλλων προστασίαν ἐγχειρισθέντες. οἱ δὲ καὶ δημοσιεύουσι τὸν θησαυρόν· οἱ οὐ στέγουσι τὴν ὠδῖνα τῆς εὐσεβείας. οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν εἶναι νομίζουσιν, εἰ μὴ καὶ τοῖς ἄλλοις τὸ καλὸν ὑπερβλύσειεν.

ἐκ τοῦ εἰς τὴν χειροτονίαν Δοάρων λόγου.

Οὐδὲν τῶν μεγάλων ἀδόκιμον καὶ οὐδὲν ἀβα-

σάνιστον· ἔπεται γὰρ φύσει τοῖς μὲν ἀπτηνοῖς τὸ ῥᾴδιον· τοῖς δὲ ὑψηλοῖς τὸ δύσκτητον.

ἐκ τοῦ εἰς τὸν ῥητὸν τοῦ εὐαγγελίου λόγου.

Τὸ μὲν γὰρ ἐκ φύσεως ἀγαθὸν εὐδόκιμον· τὸ δὲ ἐκ προαιρέσεως ἐπαινετόν.

Περὶ ἀναξίων ἱερέων, καὶ ὁποίους χρὴ εἶναι τοὺς ἱερεῖς.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Ἠσχύνθην ὑπὲρ τῶν ἄλλων ὅσοι μηδὲν τῶν πολλῶν ὄντες βελτίους. μέγα μὲν εἰ καὶ μὴ πολλῷ χείρους. ἀνίπτοις χερσὶν, ὃ δὴ λέγεται, καὶ ἀμυήτοις ψυχαῖς τοῖς ἁγιωτάτοις ἑαυτοὺς ἐπεισάγουσι. καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι τοῖς ἱεροῖς, μεταποιοῦνται τοῦ βήματος. θλίβονταί τε καὶ ὠθοῦνται περὶ τὴν ἁγίαν τράπεζαν ὥσπερ οὐκ ἀρετῆς τύπον ἀλλ' ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες· οὐδὲ λειτουργίαν ὑπεύθυνον· ἀλλὰ ἀρχὴν ἀνεξέταστον.

ἐκ τοῦ εἰς τὸν ἅγιον ἀθανάσιον ἐπιταφίου.

Ταῦτα τῶν νόθων καὶ παραγράπτων ἱερέων καὶ τοῦ ἐπαγγέλματος ἀναξίων· οἱ μηδὲν τῇ ἱερωσύνῃ προεισενεγκόντες· μηδὲ τοῦ καλοῦ προταλαιπωρήσαντες, ὁμοῦ τε μαθηταὶ καὶ διδάσκαλοι τῆς εὐσεβείας ἀναδείκνυνται. καὶ πρὶν καθαρθῆναι καθαίρουσι. χθὲς ἱερόσυλοι καὶ σήμερον ἱερεῖς. χθὲς τῶν ἁγίων ἔξω καὶ μυσταγωγοὶ σήμερον. παλαιοὶ τὴν κακίαν καὶ σχέδιοι τὴν εὐσέβειαν. ὃ ἔργον

χάριτος ἀνθρωπίνης οὐ τῆς τοῦ πνεύματος· οἳ ὅταν πάντα διεξέλθωσι βιαζόμενοι, τελευταῖον τυραννοῦσι καὶ τὴν εὐσέβειαν. ὧν οὐχ ὁ τρόπος τὸν βαθμόν· ὁ βαθμὸς δὲ τὸν τρόπον πιστεύεται, παρὰ πολὺ τῆς τάξεως ἐναλαττομένης. οἳ πλείους ὑπὲρ ἑαυτῶν ἢ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς θυσίας ὀφείλουσι· καὶ πάντως τῶν δύο τὸ ἕτερον ἁμαρτάνουσιν· ἢ τῷ δεῖσθαι συγγνώμης ἄμετρα συγγινώσκοντες. ὡς ἂν μή τε ἀνακόπτοιτο κακία· ἀλλὰ καὶ διδάσκοιτο, ἢ τῇ τραχύτητι τῆς ἀρχῆς τὰ ἑαυτῶν συγκαλύπτοντες.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Νυνὶ δὲ κινδυνεύει τὸ πάντων ἡμῖν ἁγιώτατον τάγμα τῶν παρ' ἡμῖν πάντων εἶναι καταγελαστότατον. οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον ἢ κακουργίας ἡ προεδρία, οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατωτέρων οἱ θρόνοι. καὶ ἰατρὸς μὲν οὐδεὶς οὐδὲ ζωγράφος ὅς τις οὐ φύσεις ἀρρωστημάτων ἐσκέψατο πρότερον ἢ πολλὰ χρώματα συνεκέρασεν ἢ ἐμόρφωσεν. ὁ δὲ πρόεδρος εὑρίσκεται ῥαδίως μὴ πονηθεὶς καὶ πρόσφατος τῆς ἀξίας· ὁμοῦ τε σπαρεὶς καὶ ἀναδοθεὶς ὡς ὁ μῦθος ποιεῖ τοὺς γίγαντας. πλάττομεν αὐθημερὸν τοὺς ἁγίους καὶ σοφοὺς εἶναι κελεύομεν τοὺς οὐδὲν σοφισθέντας, οὐδὲ τοῦ βαθμοῦ προεισενεγκόντας τι πλὴν τοῦ βούλεσθαι. καὶ ὁ μὲν στέργει τῆς κάτω χώραν καὶ ταπεινὸς ἕστηκεν ὁ τῆς ὑψηλῆς ἄξιος, καὶ πολλὰ μὲν τοῖς θείοις λόγοις ἐμμελετήσας· πολλὰ δὲ τῇ σαρκὶ νομοθετήσας εἰς ὑποταγὴν πνεύματος. ὁ

δὲ

δὲ σοβαρὸς περιχαθέζεται καὶ τὴν ὀφρῦν αἴρει κατὰ τῶν βελτιόνων. καὶ οὐκ ἐπιβαίνει τοῖς θρόνοις· ὁ δὲ φρίσσει τὴν ὄψιν τὴν εἰς γῆν κάτω βλέπων. ἀλλ' ὅμως τοῦ κράτει καὶ σοφότερον ἑαυτὸν ὑπολαμβάνει, κακῶς εἰδὼς καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἀξίας ἀφηρημένος.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Οὕτω γὰρ τὸ πρᾶγμα ἔρριπται καὶ κέχυται. καὶ οὕτω κακῶς διακείμεθα. ὥς τε οἱ πλείους ἡμῶν ἵνα μὴ λέγω πάντες πρὶν ἀποθέσθαι σχεδὸν τὴν πρώτην τρίχα καὶ τὸ τὰ παιδικὰ ψελλίζεσθαι. πρὶν παρελθεῖν εἰς τὰς θείας αὐλάς· πρὶν τῶν ἱερῶν βίβλων γνῶναι κἂν τὰ ὀνόματα· πρὶν καινῆς καὶ παλαιᾶς χαρακτῆρα γνωρίσαι καὶ τοὺς προστάτας. οὔπω λέγω πρὶν ἢ τὸν βόρβορον ἀποπλύνασθαι καὶ τὰ τῆς ψυχῆς αἴσχη ὅσα ἡ κακία ἡμῖν προσεμάξατο· ἂν δύο ἢ τρία ῥήματα τῶν εὐσεβῶν ἐξασκήσωμεν. καὶ ταῦτα ἐξ ἀκοῆς οὐκ ἐντεύξεως· ἢ τοῦ Δαβὶδ βραχέα καθομιλήσωμεν. ἢ τὸ τριβώνιον εὖ περιστειλώμεθα. ἢ μέχρι τῆς ζώνης φιλοσοφήσωμεν, εὐσεβείας πλάσμα καὶ ὄψιν ἡμῖν αὐτοῖς περιχρώσαντες· βαβαὶ τῆς προεδρίας καὶ τοῦ φρονήματος. ἱερεῖ ἐκ σπαργάνων εὐθὺς ὡς Σαμουὴλ ἐσμέν. σοφοὶ καὶ διδάσκαλοι καὶ ὑψηλοὶ τὰ θεῖα καὶ γραμματέων τὰ πρῶτα καὶ νομικῶν. καὶ χειροτονοῦμεν ἡμᾶς αὐτοὺς οὐρανίους. καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ζητοῦμεν, καὶ οὐδαμοῦ τὸ γράμμα καὶ πάντα διανοηθῆναι πνευματικῶς.

καὶ

καὶ λῆρος πλατὺς τὰ ὀνείρατα. καὶ ἀγανακτοῖμεν ἂν εἰ μὴ σφόδρα ἐπαινοίμεθα. τοῦτο ἡμῖν οἱ χρηστότεροι καὶ ἁπλούστεροι· τί δὲ πνευματικοὶ καὶ γενναιότεροι πολλὰ κατακρίναντες ἡμᾶς ἂν ὅτῳ δόξῃ καὶ βασανίσαντες, ἀπῆλθον· καὶ τὴν κοινωνίαν ὡς οὐκ εὐσεβῶν διαπτύσαντες.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οὕτως οὐδὲ αὐτὸ τοῦτό εἰσι σοφοὶ τὸ τὴν ἑαυτῶν γινώσκειν ἀπαιδευσίαν· καί μοι δοκεῖ καλῶς ἔχειν τὸ τοῦ Σολομῶντος περὶ αὐτῶν εἰπεῖν. ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι. καὶ ὃ τούτου πονηρότερον παιδεύειν ἄλλους πεπιστευμένον· τὸν μὴ δὲ τῆς οἰκείας ἀμαθίας ἐπαισθανόμενον, ὃν καὶ πολλάκις ἐγὼ κατηλέησα εὖ εἰδὼς ὅτι τὸ οἴεσθαι τοῦ εἶναι πλεῖστον ἀφαιρεῖται καὶ μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρὸς ἀρετὴν ἐμπόδιον.

ἐκ τοῦ εἰς ἑαυτὸν λόγου καὶ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας κωνσταντινουπόλεως.

Ρᾷστον ἑαυτὸν ἀπατᾶν καὶ οἴεσθαι εἶναί τι μηδὲν ὄντα ὑπὸ τῆς κενῆς δόξης φυσώμενον.

ἐκ τοῦ εἰς τὸν ἅγιον ἀθανάσιον λόγου.

Τῷ ὄντι γὰρ ποιμένες ἠφρονεύσαντο κατὰ τὸ γεγραμμένον. καὶ ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνα μου. ἤσχυνον μερίδα ἐπιθυμητὴν, τὴν ἐκκλησίαν τοῦ θεοῦ λέγω. πολλοῖς ἱδρῶσι καὶ σφα-

γίοις

γίοις συνειλεγμένην τοῖς πρότε Χριστοῦ καὶ μετὰ
Χριστὸν καὶ αὐτοῖς τοῖς μεγάλοις τοῦ θεοῦ περὶ ἡ-
μῶν πάθεσι, πλὴν γὰρ ὀλίγων ἄγαν καὶ τούτων, ὅσοι
διὰ σμικρότητα παρερρίφησαν ἢ δι' ἀρετὴν ἀντέ-
βησαν, οὓς ἔδει σπέρμα καὶ ῥίζαν ὑπολειφθῆναι
τῷ Ἰσραὴλ ἵνα ἀναθάλῃ πάλιν καὶ ἀναβιώσῃ
ταῖς ἐπιρροαῖς τοῦ πνεύματος, πάντες τοῦ καιροῦ
γεγόνασι τοσοῦτον ἀλλήλων διενεγκόντες, ὅσον
τοὺς μὲν πρότερον, τοὺς δὲ ὕστερον τοῦτο παθεῖν. καὶ
τοὺς μὲν πρωταγωνιστὰς καὶ προστάτας γενέσθαι τῆς
ἀσεβείας. τοὺς δὲ ταχθῆναι τὰ δεύτερα· ἢ φόβῳ
κατασεισθέντας· ἢ χρείαν δουλωθέντας· ἢ κολα-
κείᾳ δελεασθέντας. ἢ ἀγνοίᾳ κλαπέντας τὸ με-
τριώτατον. εἴτω καὶ τοῦτο αὔταρκες εἰς ἀπολογίαν
τῶν λαοῦ προεστάναι πεπιστευμένων. ὥσπερ γὰρ
οὐχ αἱ αὐταὶ λεόντων τε καὶ τῶν ἄλλων ζώων ὁρ-
μαί· οὐδὲ ἀνδρῶν ἢ γυναικῶν ἢ πρεσβυτέρων ἢ
νεωτέρων· ἀλλ' ἔστι καὶ ἡλικιῶν καὶ γενῶν οὐ μι-
κρὸν τὸ διάφορον, οὕτως οὐδὲ ἀρχόντων ἢ ἀρχομέ-
νων, τοῖς μὲν γὰρ τοῦ λαοῦ τάχα ἂν καὶ συγγνώσκοι-
μεν τοῦτο πάσχουσιν· ὃς σώζει πολλάκις τὸ ἀβα-
σάνιστον· διδασκάλῳ δὲ πῶς τοῦτο δώσομεν ὃς καὶ
τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῖ ἄνπερ μὴ ψευ-
δώνυμος ᾖ· πῶς γὰρ οὐκ ἄτοπον ῥωμαίων μὲν νό-
μον μηδενὶ ἀγνοεῖν ἐξεῖναι. μή δ' ἂν σφόδρα ᾖ τις
ἀγροικίας καὶ ἀμαθέστατος. μὴ δὲ εἶναι νόμον βοη-
θοῦντα τοῖς πραττομένοις δι' ἄγνοιαν τοὺς δὲ τῆς

σωτηρίας μυσαϛῶτες ἀγνοεῖν τὰς τῆς σωτηρίας ἀρχάς, κἂν τῶν ἄλλα τυγχάνωσι τῶν ἀπλῶς ἔρων ὄντες καὶ μὴ βαθεῖς τὴν διάνοιαν. πλὴν ἔστω συγγνώμη τοῖς δι᾽ ἄνοιαν καταπολυθήσασι τί δ᾽ ἂν εἴποις τῶν ἄλλων· ὅσοι καὶ αἰσχροίας μεταποιούμενοι, δι᾽ ἃς εἶπον αἰτίας τῶν κρατούντων ἡττήθησαν καὶ τῆς εὐσεβείας σπουδὴν ἐπὶ πολὺ παίξαντες, ὡς ἐφάνη τι τῶν ἐλεγχόντων καὶ κατῃσχύνθησαν.

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ τὸν λαὸν μετὰ τὰ χρ μάξιμον.

Δέδοικα δὲ ἤδη καὶ κύνας ποιμένας εἶναι βιαζομένους, ὃ καὶ παράδοξον οὐδὲν εἰς ποιμαντικὴν εἰσενεγκόντας ἢ τὸ κεῖραι κόμας ἃς κακῶς ἤσκησαν, οἳ μήτε κύνες ἔμειναν μή τε ποιμένες γεγόνασι. πλὴν τοῦ σπαράξαι καὶ διασπεῖραι καὶ διαλῦσαι κόπον ἀλλότριον· ἐπειδὴ ῥᾷον ἀεὶ τὸ διαφθεῖραι τοῦ συντηρεῖν.

ἐκ τοῦ πρὸς κληδόνιον πρεσβύτερον δευτέρου λόγου.

Ημεῖς μὲν οὖν ταῦτα διεμαρτυράμεθα καὶ θεῷ καὶ ἀνθρώποις καὶ διαμαρτυρόμεθα. καὶ οὐδ᾽ ἂν νῦν εὖ ἴσθι ταῦτα ἐγράψαμεν, εἰ μὴ τὴν ἐκκλησίαν ὡρῶμεν διασπωμένην καὶ τεμνομένην· καὶ ταῖς ἄλλαις τερατείαις καὶ τῷ συνεδρίῳ τῆς ματαιότητος εἰδέ τις ταῦτα λεγόντων ἢ μὴ καὶ διαμαρτυρομένων ἢ διὰ χρείας τινὰς ἢ διὰ φόβον ἀνθρώπων ἢ διὰ μικροψυχίας ἀτόπους ἢ διὰ τὸ ἀποίμαντον τέως καὶ ἀκυβέρνητον· ἢ διὰ τὸ ξενοχαρὲς

ρὲς καὶ πρὸς τὰς καινοτομίας ἕτοιμον. διαπτύει μὲν ἡμᾶς ὡς οὐδενὸς λόγου ἀξίοις. προστρέχει δὲ τοῖς τοιούτοις· καὶ διαιρεῖ τὸ καλὸν σῶμα τῆς ἐκκλησίας, αὐτὸς βαστάσει τὸ κρῖμα ὅς τις ἂν ᾖ καὶ ὑφέξει τῷ θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως.

ἐκ τοῦ εἰς ἑαυτὸν λόγου καὶ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας κωνσταντινουπόλεως.

Ἀλλ' οὐδὲ τῶν κομψῶν τις ἐγὼ καὶ ἡδέων, καὶ οἷος κολακείᾳ κλέπτειν τὴν εὔνοιαν· οἵους ὁρῶ πολλοὺς τῶν νῦν ἱερατεύειν ὑπισχνουμένων οἳ τὴν ἁπλῆν καὶ ἄτεχνον ἡμῶν εὐσέβειαν ἔντεχνον πεποιήκασι. καὶ πολιτικῆς τι καινὸν εἶδος ἀπὸ τῆς ἀγορᾶς εἰς τὰ ἅγια μετενηνεγμένης, καὶ ἀπὸ τῶν θεάτρων ἐπὶ τὴν τοῖς πολλοῖς ἀθέατον μυσταγωγίαν· ὡς εἶναι δύο σκηνὰς εἰ δεῖ τολμήσαντα τοῦτο εἰπεῖν· τοσοῦτον ἀλλήλων διαφερούσας, ὅσον τὴν μὲν πᾶσιν ἀνεῖσθαι· τὴν δὲ τισὶ καὶ τὴν μὲν γελᾶσθαι. τὴν δὲ τιμᾶσθαι· καὶ τὴν μὲν θεατρικὴν, τὴν δὲ πνευματικὴν ὀνομάζεσθαι.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Μή τε οὖν τῆς οὐ διδομένης ἐφίεσθαι χρὴ προστασίας μή τε ἀπωθεῖσθαι τὴν διδομένην. τὸ μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ ἀπαιδεύτων ἀμφότερα. καὶ μέσοις εἰμί τις τῶν τε ἄγαν τολμηρῶν καὶ τῶν λίαν δειλῶν, τῶν μὲν πάσαις ἐπιπηδώντων δειλότερος· τῶν δὲ φευγόντων πάσας θαρσαλεώτερος.

Περὶ

Περὶ τοῦ μὴ δεῖν ἄλλων ἐπιστατεῖν, πρὶν αὐτὸν ἱκανῶς παιδευθῆναι.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Βέλτιον εἶναι τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις. ἢ ἄλλων ἡνιόχοις εἶναι ἀνεπιστήμονας· καὶ ἀκοὴν ὑποτιθέναι μᾶλλον εὐγνώμονα, ἢ γλῶσσαν κινεῖν ἀπαίδευτον.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀγαπητὸν γὰρ οὕτω κἂν εἰς βαθὺ γῆρας λόγος ἀφίκοιτο πολιὸς καὶ ὠφελῆσαι νέαν εὐσεβείᾳ ψυχὴν δυνάμενος· ὡς τόγε παιδεύειν ἄλλους ἐπιχειρεῖν πρὶν αὐτὸς ἱκανὸς παιδευθῆναι καὶ ἐν πίθῳ τὴν κεραμίαν μανθάνειν. ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾶν τὴν εὐσέβειαν, λίαν εἶναι μοι φαίνεται ἀνόητον καὶ τολμηρόν. ἀσυνέτων μὲν εἰ μὴ δὲ αἰσθάνοιντο τῆς ἑαυτῶν ἀμαθίας· θρασέων δὲ εἰ καὶ συνιέντες κατατολμῶσι τοῦ πράγματος.

ἐκ τοῦ αὐτοῦ λόγου.

Κρεῖσσον πολιὰ μετὰ φρονήσεως ἀπαιδεύτου νεότητος καὶ λελογισμένη βραδυτὴς τάχους ἀπερισκέπτου, καὶ ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος. ὡς καὶ ὀλίγη μερὶς τιμία πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς, καὶ χρυσὸς ὀλίγος μολίβδου πολυταλάντου, καὶ πολλοῦ σκότους ὀλίγον φῶς.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Κρεῖσσον μικρὰ μερὶς μετὰ ἀσφαλείας ἢ μεγάλη μετὰ θρασύτητος.

ἐκ τοῦ

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Κρεῖσσον ἡττᾶσθαι καλῶς ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Τὸ γὰρ κρεῖσσον νικᾶν εὐλογώτερον.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Κρεῖσσον τὸ κατὰ δύναμιν εἰσενεγκεῖν ἢ τὸ πανελλωπεῖν· οὐ γὰρ ὁ μὴ δυνηθεὶς τὰ τοιαῦτα ὑπεύθυνος, ἀλλ᾽ ὁ μὴ βουληθεὶς ὑπαίτιος κἂν τοῖς θείοις ὁμοίως κἂν τοῖς ἀνθρωπίνοις πράγμασιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Φύσει μὲν γὰρ ἅπας λόγος σαθρὸς καὶ εὐκίνητος καὶ διὰ τὸν ἀντιμαχόμενον λόγον ἐλευθερίαν οὐκ ἔχων· ὁ δὲ περὶ θεοῦ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ μεῖζον τὸ ὑποκείμενον. καὶ ὁ ζῆλος πλείων καὶ ὁ κίνδυνος χαλεπώτερος.

ἐκ τοῦ εἰς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας.

Ἔστω τὸ εὐσεβὲς μὴ ἐν τῷ πολλάκις περὶ θεοῦ λαλεῖν· ἀλλ᾽ ἐν τῷ τὰ πλείονα σιγᾶν· Γλῶσσα γὰρ ὄλισθος ἀνθρώποις μὴ λόγον κυβερνωμένη· καὶ ἀκινδυνώτερον ἀκοὴν. ἀεὶ λόγου νομίζοντες ὥς τέ τι μανθάνειν ἥδιον, ἢ διδάσκειν περὶ θεοῦ.

Περὶ τοῦ δεῖν ἐκ προαιρέσεως πρὸς ἀρετὴν ἄγεσθαι.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Οὐδὲν χρησιμώτερον τοῦ ἑκόντας ἑκόντων ἄρ-

χειν οὐδὲ ἀσφαλέστερον. τὸ μὲν γὰρ οὐδ᾽ ἂν ἄλλην ἀρχὴν συστήσειεν· ἐπειδὴ φιλεῖ τὸ βίᾳ κρατούμενον ἐλευθεριάζειν καιροῦ λαβόμενον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου λόγου.

Φιλεῖ γὰρ οὔτε ὄψις ῥαδίως ἀναχωρεῖν τῶν τερπνῶν θεαμάτων· κἂν ἀφέλκῃ τὶς βίᾳ πρὸς αὐτὰ πάλιν φέρεσθαι, οὔτε λόγος τῶν ἡδίστων διηγημάτων.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ β΄. λόγου.

Φιλεῖ γὰρ ἐν ἐξουσίᾳ τοῦ ἀντιδρᾶν κακῶς γινόμενος ἄνθρωπος, ἀλλ᾽ ὥς τε καὶ δίκαιαν ἔχων τὴν ὀργὴν ἐξ ὧν πέπονθεν, ἥκιστα λόγῳ πείθεσθαι καὶ χαλινοῖς τὸν θυμὸν ἀνακόπτεσθαι.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ πρώτου λόγου.

Φιλεῖ γὰρ τὰ γυναῖα φρονήματα πρὸς τὸ βίᾳ κρατεῖν αὐθαδιάζεσθαι.

ἐκ τοῦ αὐτοῦ λόγου.

Φιλοῦσι γὰρ οἱ δῆμοι κἂν πρὸς τὸ παρὸν κατάσχωσι τὰς ὀργὰς ὥσπερ πῦρ ἐμφωλεῦον ἢ ῥεῦμα βίᾳ κρατούμενον· εἰ καιροῦ λάβοιντο, ἀνάπτεσθαί τε καὶ ἀναρρήγνυσθαι.

ἐκ τοῦ εἰς τὸν μέγαν ἀθανάσιον ἐπιταφίου.

Τὸ μὲν γὰρ πάσχον κακῶς ἀεὶ μετριώτερον. τὸ δὲ ἐν ἐξουσίᾳ τοῦ ἀντιδρᾶν ἀκρατέστερον.

ἐκ τοῦ εἰς τὸ ἅγιον πνεῦμα λόγου.

Διατοῦτο οὐκ ἀθρόως αἱ δύο διαθῆκαι μετεποιήθησαν· ἵνα μὴ βιασθῶμεν, ἀλλὰ πεισθῶμεν. τὸ μὲν γὰρ ἀκούσιον οὐδὲ μόνιμον ὥσπερ ἃ βία κατέχεται τῶν ῥουμάτων ἢ τῶν φυτῶν. τὸ δὲ ἑκούσιον μονιμώτερόν τε καὶ ἀσφαλέστερον· καὶ τὸ μὲν τοῦ βιασαμένου· τὸ δὲ ἡμέτερον καὶ τὸ μὲν ἐπιεικείας θεοῦ· τὸ δὲ τυραννικῆς ἐξουσίας οὔκουν ᾤετο δεῖν ἄκοντας εὖ ποιεῖν· ἀλλ' ἑκόντας εὐεργετεῖν.

ἐκ τοῦ εἰς τὸ ἅγιον πάσχα λόγου β'.

Τὸ μὲν σφοδρὸν τῆς ἰατρείας ἀποδοκιμασθῆναι· ὡς οὔτε πεῖσον καὶ προσπλῆξαι δυνάμενον, διὰ τὴν ἐκ τοῦ χρόνου φυσίωσιν· τῷ δὲ ἡμέρῳ καὶ φιλανθρώπῳ τῆς θεραπείας οἰκονομηθῆναι πρὸς ἐπανόρθωσιν· μὴ δὲ γὰρ ἂν τὸ πόρρωθεν λοξὸν ἐνεγκεῖν ἀθρόαν μετάκλισιν καὶ βίαν χειρὸς ἀπευθυνούσης, θᾶττον μὲν τ' ἂν πληγῆναι ἢ ὀρθωθῆναι· μήθ' ἵππον θερμὸν καὶ ὑπερήλικα χαλινοῦ τυραννίδα δίχα τινὸς κολακείας καὶ ποππυσμάτων. διὰ τοῦτο δίδοται νόμος ἡμῖν εἰς βοήθειαν· οἷόν τι διατείχισμα μέσον θεοῦ καὶ εἰδώλων· τῶν μὲν ἀπάγων ἡμᾶς πρὸς δὲ τὸν ἐπανάγων· καὶ συγχωρεῖ τι μικρὸν ἀπαρχῆς ἵνα τὸ μεῖζον λάβῃ συγχωρεῖ τὰς θυσίας τέως ἵν' ἐγκαταστήσῃ θεόν ἔπειτα ἡνίκα καιρὸς καταλύσῃ καὶ τὰς θυσίας, σοφῶς ὑπαλλάττων ἡμᾶς ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι· καὶ μετάγων ἐπὶ τὸ εὐαγγέλιον ἤδη γεγυμνασμένον πρὸς εὐπείθειαν.

Περὶ τοῦ μὴ δεῖν ἀπὸ ἀρετῆς εἰς κακίαν τρέπεσθαι.

ἐκ τοῦ εἰς τὸ βάπτισμα λόγου.

Βραδὺς ἴσθι πρὸς κακουργίαν· ταχὺς δὲ πρὸς σωτηρίαν. ἴσον γάρ ἐστι κακὸν ἑτοιμότης τε πρὸς τὸ χεῖρον καὶ μέλλησις πρὸς τὸ βέλτιον. ἐὰν ἐπὶ κῶμον κληθῇς, μὴ ταχύνῃς. ἐὰν ἐπ' ἄρνησιν, ἀποπήδησον. ἐὰν εἴπῃ σοι πονηρὸν ἐργαστήριον· ἐλθὲ μεθ' ἡμῶν· κοινώνησον αἵματος. κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, μὴ δὲ τὰς ἀκοὰς ὑπόσχῃς. δύο γὰρ τὰ μέγιστα κερδανεῖς. ἐκείνῳ τε γνωρίσεις τὴν ἁμαρτίαν καὶ σαυτὸν ἐξαιρήσεις πονηρᾶς κοινωνίας. ἂν δέ σοι λέγῃ Δαβὶδ ὁ μέγας, δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ. ἐὰν δὲ προφήτης ἄλλος, δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου. ἐὰν δὲ αὐτὸς ὁ σωτήρ· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἢ ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν λαμπροὶ λαμπρῶς ὑπὲρ χιόνα λάμψαντες, ὑπὲρ γάλα τυρωθέντες, ὑπὲρ λίθον σάπφειρον αὐγασθέντες, μὴ ἀντιτείνωμεν, μὴ βραδύνωμεν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Δέον εὐμετακινήτους εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος.

ἐκ τοῦ εἰς τὴν τῶν ρν'. ἐπισκόπων παρουσίαν λόγου.

Οὐχ ἡ μετάθεσις τὸ αἰσχρὸν ἔχει· ἀλλ' ἡ τοῦ κακοῦ τήρησις τὴν ἀπώλειαν.

ἐκ τοῦ κατ' Ἰουλιανοῦ στηλιτευτικοῦ λόγου.

Ποιεῖ γὰρ περιβοήτους οὐ δεξιὰ πρᾶξις μόνον, ἀλλὰ καὶ κακία νικῶσα πονηρῶν εὐδοκίμησιν.

Περὶ τοῦ μὴ δεῖν πρὸς ἐπίδειξιν τι ποιεῖν.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Μὴ θρύψις αὐχένος ἢ φωνῆς ὕφεσις· ἢ προσώπου νεῦσις· ἢ βάθος ὑπήνης· ἢ κεφαλῆς ἐν χρῷ κόσμησις· ἢ βαδίσματος ἦθος τὸ ταπεφνὸν ὑποκρίνοιτο· τὰ πρὸς ὀλίγον τυπούμενα καὶ τάχιστα ἐλεγχόμενα. πᾶν γὰρ τὸ ποιητὸν οὐδὲ μόνιμον. καὶ συνήθης μὲν τὴν ἀμπεχόνην ἐπίσης φεύγων καὶ τὸ ταπεινὸν καὶ τὸ ὑψηλόν· ὑπὲρ δὲ πολλοὺς τὴν ἔνδον λαμπρότητα· οὐ γὰρ ἐν ἐσθῆτι τὸ σεπτόν· ἀλλ' ἐν ψυχῆς καταστήματι.

ἐκ τοῦ αὐτοῦ λόγου.

Πολιτικοῦ μὲν γὰρ ἔργον εἶναι πάντα ποιεῖν καὶ λέγειν· ἐξ ὧν εὐδοκιμήσει παρὰ τοῖς ἔξωθεν ὡς μηδὲν ὄντι τοῦ παρόντος βίου μακρότερον· πνευματικοῦ δὲ καὶ τοῦ καθ' ἡμᾶς πρὸς ἓν μόνον βλέπειν τὴν σωτηρίαν· καὶ ὃ μὲν εἰς τοῦτο φέρει μέγα οἴεσθαι. ὃ δ' ἂν μή, διαπτύειν ὡς τοῦ μηδενὸς ἄξιον. καὶ διὰ τοῦτο τὸ μὲν ὁρώμενον ἀτιμάζειν· ὅπως δ' ἂν τὸ ἐντὸς κάλλιστα ἔχῃ τοῦτο μόνον σκοπεῖν. καὶ ταῦτα περὶ πολλοῦ ποιεῖσθαι ἐξ ὧν αὐτός τε πλείστου ἄξιος ἔσται καὶ τοὺς ἄλλους ἕλξει δι' ἑαυτοῦ πρὸς τὸ βέλτιον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Οὐδὲν γὰρ οἶμαι τίμιον ὃ μὴ πρὸς ἀρετὴν φέρει, μὴ δὲ ποιεῖ βελτίους τοὺς περὶ αὐτὸ σπουδάζοντας.

ἐκ τοῦ εἰς ἥρωνα τὸν φιλόσοφον.

Οὐδὲν γὰρ ἀγαθὸν εἶναι δοκεῖ ὃ μὴ βελτίους ποιεῖ τοὺς κεκτημένους, ἀλλὰ καὶ χείρους ὡς τὰ πολλά· μή τε διὰ τέλους παραμένει τοῖς ἔχουσιν.

Περὶ ἐλεημοσύνης καὶ ἐγκρατείας.

ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου.

Οὐδενὶ γὰρ οὕτω τῶν ἁπάντων ὡς ἐλέῳ θεὸς θεραπεύεται· ὅτι μὴ δὲ οἰκειότερον ἄλλο τούτου θεῷ, οὐδὲ ἄλλῳ τινὶ μᾶλλον ἢ φιλανθρωπία. τὸ φιλάνθρωπον ἀντιδίδοται.

ἐκ τοῦ εἰς τὸν ἐξισωτὴν Ιουλιανὸν λόγου.

Φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ θεὸς κἂν ὑπ᾽ αὐτοῦ κολαζώμεθα.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανὸν λόγου.

Οὐδενὶ γὰρ οὕτω τῶν ἁπάντων ὡς κακοπαθείᾳ θεὸς θεραπεύεται. καὶ δάκρυσι τὸ φιλάνθρωπον ἀντιδίδοται.

ἐκ τοῦ εἰς τὸ βάπτισμα λόγου.

Οὐδὲν γὰρ οὕτω μέγα παρὰ θεῷ ὃ μὴ καὶ πένης δίδωσιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Μὴ ἀγαπήσῃς πλοῦτον εἰ μὴ βοηθεῖ πένησι. μὴ θαυμάσῃς μηδὲν ὃ μὴ παραμένει. μὴ παρίδῃς ὃ μένει. μὴ δὲ προσφίγξῃς μηδὲν ὃ διαῤῥέει κρατούμε-

τέμε-

τούμενον. μὴ ζηλώσῃς τι τῶν οὐ φθονουμένων ἀλλὰ μισουμένων. μὴ ἐπαρθῇς μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς. μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων. λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος. μὴ γελάσῃς πτῶμα τοῦ πέλας. διάβαινε δὲ ἀσφαλῶς ὅσῃ δύναμις· ἀλλὰ καὶ δίδου χεῖρα χαμαὶ κειμένῳ. μήτε ἀθυμῶν ἀπελπίσῃς εὐημερίαν. μήτε καλῶς πράττων ἀθυμίαν· εἷς ἐνιαυτὸς τέσσαρας ὥρας φέρει. καὶ μία καιροῦ ῥοπὴ πολλὰς πραγμάτων μεταβολάς.

ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου.

Σώφρονες δὲ οἱ διὰ τὸ μὴ πιστεύειν τοῖς παροῦσι τὸ μέλλον ἑαυτοῖς θησαυρίζοντες. καὶ διὰ τὸ τῆς ἀνθρωπίνης εὐπραγίας ἄστατον καὶ ἀνώμαλον τὴν οὐ πίπτουσαν ἀγαπῶντες χρηστότητα· ἵνα τριῶν τὸ ἓν πάντως κερδάνωσιν· ἢ τὸ μή ποτε πρᾶξαι κακῶς ἐπεὶ καὶ τοῖς ἐντεῦθεν χρηστοῖς πολλάκις δεξιοῦται τὸ θεῖον τοὺς εὐσεβεῖς χρηστότητα τὸ συμπαθὲς προκαλούμενον· ἢ τὸ παῤῥησίαν ἔχειν ἐν ἑαυτοῖς πρὸς θεόν· ὡς οὐ διὰ κακίαν, ἀλλὰ τινὰ οἰκονομίαν κακοπαθήσαντες· ἢ τὸ τελευταῖον ὡς ὀφειλομένην ἀπαιτεῖν παρὰ τῶν εὖ πραττόντων φιλανθρωπίαν, ἣν τοῖς χρῄζουσι προσήνεγκαν δεξιῶς αὐτοὶ πράττοντες.

ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου.

Μὴ χρήσῃ ῥῆμα γογγυσμοῦ μετὰ τῆς ἐπιδόσεως ὅπερ πάσχουσιν οἱ πολλοὶ διδόντες μὲν, τὸ δὲ

προθύμως ἢ προστιθέντες· ὃ τοῦ παρέχειν μεῖζον ἐστὶ καὶ τελειότερον. μὴ δὲ δοκιμασίαν ζήτει τοῦ ληψομένου ὅς τις ἄξιος καὶ ὅς τις οὔ. πολλῷ γὰρ βέλτιον εἶναι διὰ τοὺς ἀξίους ὀρέγειν καὶ τοῖς μὴ ἀξίοις, ἢ τοὺς ἀξίους ἀποστερεῖν δέει τῶν ἀναξίων. καὶ τοῦτο εἶναι φαίνεται τὸ χρῆναι πέμπειν τὸν ἄρτον ἑαυτοῦ καὶ καθ᾽ ὕδατος· ὡς οὐ παρασυρησόμενον οὐδὲ ἀπολούμενον παρὰ δικαίῳ τούτων ἐξεταστῇ· ἀλλ᾽ ἐνταῦθα καταντήσαντα οὗ πάντα κεῖσθαι τὰ ἡμέτερα· καὶ ἀπαντήσοντα ἐν καιρῷ κἂν ἡμεῖς μὴ τοῦτο νομίζωμεν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Μὴ γενώμεθα κακοὶ τῶν δοθέντων ἡμῖν οἰκονόμοι, ἵνα μὴ ἀκούσωμεν Πέτρου λέγοντος· αἰσχύνθητε οἱ κατέχοντες τὰ ἀλλότρια· καὶ μιμήσασθε ἰσότητα θεοῦ, καὶ οὐδεὶς ἔσται πένης. μὴ κάμνωμεν θησαυρίζοντες καὶ φυλάττοντες ἄλλων πενίᾳ καμνόντων.

ἐκ τοῦ αὐτοῦ λόγου.

Γενοῦ τῷ ἀτυχοῦντι θεὸς τὸν ἔλεον θεοῦ μιμησάμενος. οὐδὲν γὰρ οὕτως ὡς τὸ εὖ ποιεῖν ἄνθρωπος ἔχει θεοῦ· κἂν ὁ μὲν μεῖζον ὁ δὲ ἔλαττον εὐεργετῇ, ἑκάτερος οἶμαι κατὰ τὴν ἑαυτοῦ δύναμιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Τῶν γὰρ αὐτῶν ἐστιν ἔχειν τέ τι παρὰ θεοῦ καὶ κεχρῆσθαι κατὰ θεὸν οἷς περ ἔχουσιν.

ἐκ τοῦ

ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔστι παρ' οἷς τὸ ποιεῖν εὖ τοῦ πάσχειν τιμιώτερον καὶ περισπουδαστότερος κέρδους ἔλεος.

ἐκ τοῦ εἰς τὸν ἑαυτοῦ πατέρα ἐπιταφίου.

Ἕνα πλοῦτον εἶναι φημὶ ἀσφαλῆ τε καὶ ἄσυλον τὸ ἀποπλουτεῖν θεῷ, καὶ τοῖς πένησι, καὶ μάλιστα τοῖς ἐκ γένους τοῖς ἀπανθήσασιν. οἷς τὸ μὲν ἄχρι τῆς χρείας ἐπαρκεῖν οὐ λύσις τῆς συμφορᾶς, ἀλλ' ὑπόμνησις εἶναι νομίζεται. τὸ δὲ ἐλευθεριώτερον εὖ ποιεῖν τοῦ τ' εἶναι τιμῆς βεβαίας καὶ παραμυθίας τελεωτάτης.

ἐκ τοῦ περὶ πλουτούντων λόγου.

Τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν.

ἐκ τοῦ εἰς τὴν ἀδελφὴν αὐτοῦ ἐπιταφίου λόγου.

Μὴ τὸ σῶμα παραδῷς τῇ τρυφῇ καὶ ταῖς ἀκαθέκτοις τῆς γαστρὸς ἡδοναῖς, τῷ λυσσῶντι κυνὶ καὶ σπαράσσοντι, ὡς ἂν θαῤῥῶν ταῖς εὐποιΐαις ὅπερ πάσχουσιν οἱ πολλοὶ τοῖς εἰς τοὺς πένητας εὐσπλαγχνίας τὸ τρυφᾶν ἐξωνούμενοι. καὶ οὐ καλῷ τὸ κακὸν ἰώμενοι· καλοῦ δὲ τὸ φαῦλον ἀντιλαμβάνοντες.

ἐκ τοῦ εἰς τὸν ἑαυτοῦ πατέρα ἐπιταφίου.

Φιλεῖ γὰρ ὡς τὰ πολλὰ ἀντιπολεμεῖν ταῦτα ἀλλήλοις καὶ ἀντικαθέζεσθαι· καὶ σῶμα μὲν εὐεκτεῖν καμνούσης ψυχῆς. ψυχὴν δὲ θάλλειν καὶ ἄνω βλέπειν τῶν ἡδονῶν ὑποβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι.

ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου.

Ὦ πῶς συνεζύγην οὐκ οἶδα. καὶ πῶς εἰκών τέ εἰμι θεοῦ καὶ τῷ πηλῷ συμφύρομαι· ὃ καὶ εὐεκτοῦν πολεμεῖ καὶ ἀνιᾷ πολεμούμενον. ὃ καὶ ὡς σύνδουλον ἀγαπῶ, καὶ ὡς ἐχθρὸν ἀποστρέφομαι· ὃ καὶ ὡς δεσμὸν φεύγω, καὶ ὡς συγκληρονόμον αἰσχύνομαι. τῆξαι φιλονεικῶ καὶ οὐκ ἔχω τίνι συνεργῷ πρὸς τὰ κάλλιστα χρήσομαι· ὡς εἰδὼς εἰς ὃ γέγονα καὶ ὅτι δεῖ με πρὸς θεὸν ἀναβῆναι διὰ τῶν πράξεων φείδομαι ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν· ἤ πως μὴ ἀπὸ θεοῦ πέσω βαρηθεὶς ταῖς πέδαις κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος. ἐχθρός ἐστιν εὐμενὴς καὶ φίλος ἐπίβουλος, ὢ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως. ὃ φοβοῦμαι περιέπω καὶ ὃ στέργω δέδοικα· πρὶν πολεμῆσαι καταλλάσσομαι καὶ πρὶν εἰρηνεῦσαι διΐσταμαι.

Περὶ τῆς κατ' ἀρετὴν ἀγάπης καὶ τοῦ πνευματικοῦ ἔρωτος.

ἐκ τοῦ ἀπολογητικοῦ λόγου.

Οὐδὲν οὕτως ἰσχυρὸν πρὸς ἀγάπην ὡς ἀντιδιδομένη διάθεσις.

ἐκ τοῦ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίου.

Οἱ μὲν γὰρ τῶν σωμάτων ἔρωτες ἐπειδὴ ῥεόντων εἰσὶ καὶ ῥέουσιν ἴσα καὶ ἠρινοῖς ἄνθεσιν. οὔτε γὰρ φλὸξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλὰ τῷ ἐνάπτοντι συναπέρχεται· οὔτε πόθος ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος. οἱ δὲ κατὰ θεὸν τε καὶ σώφρο-

σώφρονες ἐπειδὴ πράγματος ἔσωτος εἰσὶ διὰ τὸ καὶ μονιμώτεροι. καὶ ὅσῳ πλέον αὐτοῖς τὸ κάλλος φαντάζεται, τοσούτῳ μᾶλλον ἑαυτῷ τε ἀλλήλοις συνδεῖ τοὺς αὐτῶν ἐραστάς, οὗτος τοῦ ὑπὲρ ἡμᾶς ἔρωτος νόμος.

ἐκ τοῦ εἰς Γρηγόριον τὸν νύσσης λόγου.

Πάντα οἶδε φιλία καὶ πάσχουσα καὶ ἀκούουσα.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανὸν λόγου.

Ὡς μέγα μνήμης ἐμπύρευμα καὶ βραχεῖα συνήθεια τοῖς τε ἀγαπητικοῖς τὸν τρόπον καὶ θεοῦ μιμουμένοις φιλανθρωπίαν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐδὲ γὰρ φέρει τὴν ἀναβολὴν ὁ ζῆλος, καὶ βίος ὅλος ἡμέρα μία τοῖς πόθῳ κάμνουσιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Συνεισέρχεται γὰρ οὐκ οἶδ᾽ ὅπως φίλτρον ταῖς οἰκειώσεσι τοῖς κατά τι συναπτομένοις οὐχ ἧττον τοῖς λοιποῖς πράγμασιν ἢ περὶ ἀγχιστείαν αἵματος.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Οὕτως ἡμέρα μία βίος ὅλος ἀνθρώπου τοῖς πόθῳ κάμνουσιν.

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ τὸν λαὸν μετὰ τὰ χριστοῦ μάξιμον.

Κοῦφον τὸ κάμνειν ἔρωτι κἂν ἡ ἀναβολὴ τὸ λυπηρὸν

ρὸν ἔχῃ καὶ πολυχρόνιον οὕτως τὸ ἔντιμον εἰς ἐξου-
σίαν ἀργὸν εἰς ἐπιθυμίαν, ὥς τις ἔφη τῶν πρὸ ἡ-
μῶν.

Γρηγορίου ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου.

Τὸ μὲν γὰρ ῥαδίως ληπτὸν ἅπαν εὐκαταφρό-
νητον· τὸ δὲ ὑπὲρ ἡμᾶς ὅσον δυσεφικτότερον το-
σοῦτο θαυμασιώτερον· καὶ γυμνάζει τὸν πόθον
ἅπαν τὸ διαφεῦγον τὴν ἔφεσιν.

ἐκ τοῦ εἰς τὸ βάπτισμα λόγου.

Φιλοῦσι γὰρ οἱ περί τι ἐρωτικῶς διακείμενοι
ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασιν.

ἐκ τοῦ εἰς τὸ ἅγιον πάσχα β΄. λόγου.

Οὐ γὰρ ἐθέλει τὸ περί τι διακείμενον ἐρωτι-
κῶς πρὸς τὰς ἄλλας ἡδονὰς τὴν αὐτὴν ἔχειν δύ-
ναμιν.

Περὶ ὑπομονῆς καὶ περὶ τοῦ ὑπείκειν τοῖς ἄρχουσι
καὶ βασιλεῦσιν.

ἐκ τοῦ πρὸς τοὺς πολιτευομένους ναζιαν-
ζοῦ λόγου.

Κάμνουσα γὰρ ψυχὴ ἐγγύς ἐστι θεοῦ. καὶ τὸ χρή-
ζειν ἐπιστρέφει πρὸς τὸν δοῦναι δυνάμενον τῷ
ἀφθόνῳ τῆς δωρεᾶς τυχὸν καὶ καταφρονούμενον.
διὰ τοῦτο ἄνω νεύωμεν ἀδελφοὶ ἐν παντὶ καιρῷ·
καὶ περιστάσει πάσῃ περιβαλλώμεθα τὴν καλὴν
ἐλπίδα· καὶ μήτε ἐν ταῖς εὐθυμίαις ἀποβάλλω-
μεν τὸν φόβον, μήτε ἐν τοῖς λυπηροῖς τὸ εὔελπον.
μνησθῶμεν καὶ ἐν ἐνδείᾳ τῆς ζάλης καὶ ἐν χει-
μῶνι

μῶνι τοῦ κυβερνήτου, καὶ μὴ γινώμεθα δοῦλοι κακοὶ ἀγαθύνοντι μὲν ἐξομολογούμενοι τῷ δεσπότῃ, παιδεύοντι δὲ μὴ προστιθέμενοι· καί τοι ποτὲ κρείσσων ὑγείας πόνος· καὶ ὑπομονὴ ἀνέσεως· καὶ ἐπίσκεψις ἀμελίας, καὶ ἐπιστροφὴ συγχωρήσεως· εἰπὼ συντόμως, μή τε διὰ τὰς συμφορὰς πίπτωμεν, μή τε διὰ τὸν κόρον ὑβρίζωμεν. ὑποτασσώμεθα καὶ θεῷ, καὶ ἀλλήλοις καὶ τοῖς ἐπὶ γῆς ἄρχουσι· θεῷ διὰ πάντα· διὰ τὴν φιλαδελφίαν ἀλλήλοις· δι' εὐταξίαν τοῖς ἄρχουσι· καὶ τοσούτων μᾶλλον ὅσῳ περ ἂν ὦσιν ἡμερώτεροι καὶ χρηστότεροι. δεινὸν ἐπιείκειαν δαπανῆσαι τῷ συνεχεῖ τῆς συγγνώμης, ἵνα μὴ καὶ τῆς ἐκείνων ταχύτητος αὐτοὶ δίκας ἀπαιτηθῶμεν.

Γρηγορίου ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ λόγου.

Τὸ γὰρ βούλεσθαι βασιλέα ἔγγραφός ἐστι νόμος τῷ κράτει συνηγορούμενος· καὶ πολύ γε τῶν γραπτῶν ἰσχυρότερος τῶν οὐ δυναστείαν βοηθουμένων.

ἐκ τοῦ περὶ υἱοῦ πρώτου λόγου.

Τότε γὰρ ἄναρχον ἄτακτον τό, τε πολύαρχον στασιῶδες καὶ οὕτως ἄναρχον, καὶ οὕτως ἄτακτον· εἰς ταυτὸν γὰρ ἀμφότερα φέρει τὴν ἀταξίαν, ἡ δὲ εἰς λύσιν· ἀταξία γὰρ μελέτη λύσεως.

ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου.

Ἔστι ποτὲ ἡδονῆς λύπη τιμιωτέρα· καὶ κατήφεια πανη-

πανηγύρεως· καὶ γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινετόν.

ἐκ τοῦ εἰρηνικοῦ πρώτου λόγου.

Ἔστι γὰρ ὅτε καὶ τοῦτο φάρμακον ἀγαθὸν εἰς σωτηρίαν ἡ θλίψις.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Οὕτως τιμιώτερόν ἐστι τῷ δικαίῳ παιδεύεσθαι ἢ τῷ πονηρῷ καταλείφεσθαι. τοῦ μὲν γὰρ καὶ τὸ βραχὺ προσηνὲς διὰ τὴν ὠφέλειαν· τοῦ δὲ καὶ τὸ χρηστὸν ὕποπτον διὰ τὸ κακόηθες.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Οὕτως πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται καὶ κρείττων εὐημερίας πολλάκις κακοπάθεια.

ἐκ τοῦ εἰς τὴν πληγὴν τῆς χαλάζης.

Κρεῖττον ὡς κολάσει κάμπτεσθαι κἂν μὴ οὕτως ἔχῃ καὶ ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ ταπεινοῦσθαι ἢ ὡς δοκιμασίᾳ μετεωρίζεσθαι.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι καὶ καθαρθῆναι ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι ἡνίκα κολάσεως καιρὸς οὐ καθάρσεως.

Περὶ ἀνεξικακίας καὶ τῆς τοῦ ματαίου βίου περιφορᾶς.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Πολλάκις καὶ τὸ συγγνῶμον μέγα πρὸς σωτηρίαν αἰδοῖ κατεῖργον τὸν ἀδικήσαντα· καὶ μετάγον εἰς φίλτρον ἐκ φόβου τὴν ἀσφαλεστέραν εὔνοιαν.

ἐκ τοῦ

ἐκ τοῦ πρὸς τοὺς πολιτευομένους ναζιανζοῦ λόγου.

Πολλὰ καὶ χρηστότητα κατορθοῦσαν οἶδα δυσωποῦσαν εἰς ὀφειλομένην ἀντίδοσιν· ὅταν βιάζεσθε παρὸν συγχωρήσαντες δυσωπήσωμεν εὐνοίᾳ τὸ ἐλεούμενον.

ἐκ τοῦ εἰς τὴν τῶν ρν΄. ἐπισκόπων παρουσίαν λόγου.

Τοῦτο γὰρ αὐτάρκης ἐμοὶ τιμωρία κατὰ τῶν ἀδικούντων, ἡ τοῦ ἀντιδρᾶν ἐξουσία.

ἐκ τοῦ κατὰ Ιουλιανοῦ στηλιτευτικοῦ β΄. λόγου.

Αυτάρκης ἡ δίκη τοῖς γεγονόσιν ἀξίοις τὸ τῶν λελυπηκότων δέος. καὶ τὸ προσδοκῆσαι ταῦτα παθεῖν ὧν εἰσὶν ἄξιοι· καὶ οἰκείῳ συνειδότι βασανισθῆναι. ἃ γάρ τις ὡς πεισόμενος δέδοικε, ταῦτα πέπονθε κἂν μὴ πάθῃ· καὶ πλείω παρ᾽ ἑαυτοῦ τυχὸν ἢ τῶν δρασάντων κολάζεται.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ος οἷς πέπονθε τὸ εὐδόκιμον ἔχων οὐχ ἧττον νενίκηκεν οἷς δυνάμενος οὐ πεποίηκεν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οἶδε γὰρ ὁ θεὸς συμφορὰν μὲν ἐπικόπτειν ἐλέῳ, θράσος δὲ ἀτιμίᾳ σωφρονίζειν, καὶ μάστιξιν αἷς αὐτὸς ἐπίσταται καὶ οἷς μέτροις παιδεύσεως.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ικανὸν γὰρ τὸ τι προσλαβεῖν εὐημερίας καὶ πρὸς τὴν ἐλπίδα τοῦ μέλλοντος.

ἐκ τοῦ

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Τὸ γὰρ ἤδη παθεῖν καὶ πρὸς τὸ μέλλον πῶς δύσελπι· κἂν ὁ λογισμὸς ἄλλό τι πείθῃ τὸ κρεῖττον ὑποτιθέμενος.

ἐκ τοῦ πρὸς τοὺς πολιτευομένοις ναζιανζοῦ λόγου.

Ὡς αὔραις ἔστι μᾶλλον πιστεύειν καὶ γράμμασι τοῖς καθ᾽ ὕδατος ἢ ἀνθρώπων εὐημερία. καὶ φθόνος μὲν εὐπραξίαν· συμφορὰν δὲ ἔλεος ἵστησι. καὶ τοῦτο σοφῶς κατάγει τὸν ἐμὸν λόγον καὶ θαυμασίως ἵνα μήτε τὸ ἀλγεῖν ἀπαραμύθητον ᾖ, μήτε τὸ εὐπράττειν ἀπαιδαγώγητον.

ἐκ τοῦ εἰρηνικοῦ πρώτου λόγου.

Μεγίστη γὰρ ἐπικουρία τοῖς ἀτυχοῦσι μεταβολῆς ἐλπὶς καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον.

Περὶ τοῦ κατὰ θεὸν τελείου βίου.

ἐκ τοῦ εἰς τὰ γενέθλια λόγου.

Μὴ ὀφθαλμὸν ἑστιάσωμεν· μὴ ἀκοὴν καταυλήσωμεν· καὶ ὄσφρησιν ἐκθηλύνωμεν. μὴ γεῦσιν καταπορνεύσωμεν· μὴ ἁφῇ χαρισώμεθα ταῖς προχείροις εἰς κακίαν ὁδοῖς καὶ εἰσόδοις τῆς ἁμαρτίας.

ἐκ τοῦ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου.

Ὀφθαλμὸς πορνεύων οὐ φυλάττει τὴν παρθενίαν.

ἐκ τοῦ

ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ γὰρ κατὰ μέρος ὑφελκόμενον καὶ κλεπτόμενον, ἀνεπαίσθητον μὲν τὴν πρὸς τὸ παρὸν ἔχει βλάβην, εἰς τὸ κεφάλαιον δὲ τῆς κακίας ἀπαντᾷ.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανὸν λόγου.

Ταχύτεραι γὰρ αἱ καθαραὶ ψυχαὶ καὶ θεοειδεῖς πρὸς θήραν τοῦ εὐεργοῦντος· κἂν ὅτι μάλιστα σοφιστικὸς ᾖ καὶ ποικίλος τὴν ἐπιχείρησιν.

Περὶ τῆς ἐμπράκτου κατὰ χεισὸν πνευματικῆς φιλοσοφίας καὶ ταπεινοφροσύνης.

ἐκ τοῦ εἰς τὸν ἅγιον ἀθανάσιον λόγου.

Ἀρχὴ τε σοφίας φόβος κυρίου, οἷον τι πρῶτον σπάργανον· καὶ σοφία τὸν φόβον ὑπερβᾶσα καὶ εἰς τὴν ἀγάπην ἀναβιβάσασα θεοῦ φίλους ἡμᾶς καὶ υἱοὺς ἀντὶ δούλων ἐργάζεται.

ἐκ τοῦ περὶ θεολογίας λόγου.

Σοφία πρώτη βίος ἐπαινετὸς καὶ θεῷ κεκαθαρμένος ἢ καθαιρόμενος τῷ καθαρωτάτῳ καὶ λαμπροτάτῳ· καὶ μόνην ἀπαιτοῦντι παρ᾽ ἡμῶν θυσίαν τὴν κάθαρσιν.

ἐκ τοῦ εἰς τὴν πληγὴν τῆς χαλάζης λόγου.

Σοφία πρώτη σοφίας ὑπεροραν τῆς ἐν λόγῳ κειμένης καὶ στροφαῖς λέξεων· καὶ ταῖς κιβδήλοις καὶ περιτταῖς ἀντιθέσεσιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐ γὰρ ὁ ἐν λόγῳ σοφὸς ἐστὶν ἐμοὶ σοφὸς, οὐδ᾽ ὅς τις γλῶσσαν μὲν εὔστροφον ἔχει, ψυχὴν δὲ ἄστατον

καὶ ἀπαίδευτον· ἀλλ' ὅς τις ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται· πολλὰ δὲ οἷς ἐνεργεῖ δείκνυσι· καὶ τὸ ἀξιόπιστον τοῦ λόγου διὰ τοῦ βίου περιτίθησι. κρείσσων γὰρ εὐμορφία θεωρουμένη τῆς ἐν λόγῳ ζωγραφουμένης. καὶ πλοῦτος ὃν αἱ χεῖρες ἔχουσιν ἢ ὃν ὄνειροι πλάττουσι, καὶ σοφία οὐχ ἡ τοῦ λόγου λαμπρυνομένη ἀλλ' ἡ διὰ τῶν ἔργων ἐλεγχομένη· σύνεσις γὰρ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν φησιν, ἀλλ' οὐ τοῖς κηρύττουσιν.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Τὸ γὰρ ταπεινὸν οὐκ ἐν τοῖς μικροῖς κρίνεται τοσοῦτον. γένοιτο γὰρ ἂν καὶ δι' ἔνδειξιν καὶ ψευδῆ μόρφωσιν ἀρετῆ, ὅσον ἐν τοῖς μείζοσι δοκιμάζεται· καὶ ταπεινόφρων ἐμοὶ οὐχ ὅς τις μικρὰ περὶ ἑαυτοῦ διαλέγεται. καὶ τοῦτο πρὸς ὀλίγοις καὶ ὀλιγάκις· οὐδ' ὅς τις ταπεινῶς προσαγορεύει τὸν ταπεινότερον· ἀλλ' ὅς τις μετρίως περὶ θεοῦ φθέγγεται. καὶ τὰ μὲν εἰπεῖν οἶδε τὰ δὲ κατέχειν τὸ δὲ ὁμολογεῖν τὴν ἄγνοιαν καὶ παραχωρεῖν τοῦ λόγου τῷ πιστευθέντι· καὶ εἶναί τινα πνευματικώτερον δέχεται καὶ διαβεβηκότα μᾶλλον ἐν θεωρίᾳ.

ἐκ τοῦ περὶ υἱοῦ β. λόγου.

Οὐ γὰρ ἱκανὸν ἡ διάθεσις εἰ μὴ καὶ διὰ τῶν ἔργων χωρήσαιμεν, ἔργον γὰρ ἀπόδειξις διαθέσεως.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Κρεῖττον ὄντα σοφὸν ὑφίεσθαι δι' ἐπιείκειαν ἢ ἀ-

μαθῶς

μαθῶς ἔχοντα διὰ θράσος ὑπερεκτείνεται.

ἐκ τοῦ περὶ υἱοῦ δευτέρου λόγου.

Οὐ γὰρ ἡδὺ τοῖς πιστοῖς ἀδολεσχία καὶ λόγων ἀντιθέσεις, ἀρκεῖ γὰρ καὶ εἷς ἀντικείμενος· πλὴν ἀναγκαίως διὰ τοὺς ἐμπίπτοντας· ἐπεὶ καὶ διὰ τὰς νόσους τὰ φάρμακα· ἵν' εἰδῶσι μὴ πάντα ὄντες σοφοὶ μὴ δὲ ἀήττητοι τὰ περιττὰ καὶ κενοῦντα τὸ εὐαγγέλιον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Οὐκ ἦν ἀτιμαστέον τὴν παίδευσιν ὅτι τοῦτο δοκεῖ τισίν· ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον, τοὺς οὕτως ἔχοντας· οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι καθ' ἑαυτούς· ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτοὺς κρύπτηται· καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκωσιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Δεῖ δὲ καὶ τῆς ἐν λόγοις δυνάμεως εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν πρὸς τὴν τῶν νοουμένων δήλωσιν· κίνημα γὰρ ναρκώντων νοῦς ἀνεκλάλητος.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οἱ μὲν γὰρ ἢ βίον ἢ λόγον κατωρθωκότες τῷ ἑτέρῳ δὲ λείποντες, οὐδὲν τῶν ἑτεροφθάλμων ἐμοὶ δοκεῖ διαφέρουσιν· οἷς μεγάλη μὲν ἡ ζημία, μεῖζον δὲ τὸ αἶσχος ὁρῶσι καὶ ὁρωμένοις. οἷς δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν ὑπάρχει καὶ εἶναι περιδεξίοις τούτοις καὶ τὸ εἶναι τελείοις καὶ βιοτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ὁμοίως γὰρ ἀτελὲς καὶ ἄλογος πρᾶξις καὶ λόγος ἄπρακτος.

ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον λόγου.

Ἤ γὰρ φιλοσοφητέον ἢ τιμητέον φιλοσοφίαν εἴπερ μὴ μέλλοιμεν παντελῶς ἔξω τοῦ καλοῦ πίπτειν, μὴ δὲ ἀλογίαν κατακριθήσεσθαι λογικοὶ γεγονότες καὶ διὰ λόγου πρὸς λόγον σπεύδοντες.

ἐκ τοῦ εἰς ἑαυτὸν καὶ τὸν λαὸν μετὰ τὰ κατὰ Μάξιμον τὸν φιλόσοφον λόγου.

Ὡς γὰρ οὐκ ἔστι χωρὶς πίστεως πρᾶξις ἔγκριτος· ἐπειδὴ καὶ δόξης ἕνεκεν οἱ πολλοὶ τὸ καλὸν ἐπιτηδεύουσι καὶ φύσεως οὕτως ἔχοντες· οὕτω καὶ πίστις χωρὶς τῶν ἔργων νεκρά· καὶ μή τις ὑμᾶς ἀπατάτω κενοῖς λόγοις τῶν πάντα συγχωρούντων ἑτοίμως ὑπὲρ ἑνὸς τοῦ ἀσεβεῖν τοῖς δόγμασι καὶ φαῦλον καταβαλλόντων μισθὸν φαύλου πράγματος.

ἐκ τοῦ εἰς τὰ γενέθλια λόγου.

Θεωρία γὰρ ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ λόγου.

Εἰς δύο γὰρ ταῦτα διῃρημένης πάσης φιλοσοφίας θεωρίαν τε λέγω καὶ πρᾶξιν· καὶ τῆς μὲν ὑψηλοτέρας οὔσης δυστεκμάρτου δέ· τῆς δὲ ταπεινοτέρας μὲν, χρησιμωτέρας δὲ, ἀμφότερα δι' ἀλλήλων εὐδοκιμεῖ· καὶ γὰρ συνέκδημον πρὸς

τὰ

τὰ ἐκεῖθεν ποιώμεθα· καὶ πρᾶξιν θεωρίας ἐπίβασιν· οὐδὲ γὰρ οἷόν τε εἶναι σοφίας μετέχειν μὴ σοφῶς ἀναστραφέντας.

ἐκ τοῦ εἰς τὴν τῶν ρν΄. ἐπισκόπων παρουσίαν λόγου.

Οὐδὲν γὰρ οὕτω θεῷ μεγαλοπρεπὲς, ὡς λόγος κεκαθαρμένος καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασιν.

ἐκ τοῦ εἰς Γρηγόρειον τὸν νύσσης.

Οὐδὲν γὰρ οὕτω τῷ καθαρῷ τίμιον ὡς καθαρότης ἢ κάθαρσις.

ἐκ τοῦ αὐτοῦ λόγου.

Καθαρὸν γὰρ μόνον ἄπιστον τοῦ καθαροῦ καὶ ὡσαύτως ἔχοντος.

ἐκ τοῦ πρὸς εὐνομιανοὺς λόγου.

Μὴ καθαρῷ γὰρ ἅπτεσθαι καθαροῦ τυχὸν οὐδὲ ἀσφαλές· ὥσπερ οὐδὲ ὄψει σαθρᾷ, ἡλιακῆς ἀκτῖνος.

ἐκ τοῦ εἰς καισάρειον τὸν ἀδελφόν.

Κρεῖσσον πολλοστὸν τετάχθαι παρὰ θεῷ εἶναι δοκεῖ καὶ ὑψηλότερον· ἢ παρὰ τῷ κάτω βασιλεῖ τὰ πρῶτα φέρεσθαι· φιλοσοφεῖν μὲν γὰρ ὅσον μέγιστον τοσοῦτον καὶ χαλεπώτατον· καὶ οὐ πολλῶν τὸ ἐγχείρημα· οὐδὲ ἄλλων ἢ τῶν ὑπὸ τῆς θείας προσκεκλημένων μεγαλονοίας· ἢ τοῖς προαιρουμένοις καλῶς χεῖρα δίδωσιν· οὐ μικρὸν δὲ εἴτις τὸν δεύτερον προστησάμενος βίον καλοκαγαθίας μεταποιοῖτο καὶ πλείονα λόγον ἔχει

θεοῦ καὶ τῆς ἑαυτοῦ σωτηρίας ἢ τῆς κάτω λαμπρότητος· καὶ τὴν μὲν ὡς σκηνὴν προβάλλοιτο ἢ τὶ προσωπεῖον τῶν πολλῶν καὶ προσκαίρων τὸ τοῦ κόσμου δρᾶμα ὑποκρινόμενος. αὐτὸς δὲ ζώοι θεῷ μετὰ τῆς εἰκόνος ἣν οἶδε παρ' ἐκείνου λαβὼν καὶ ὀφείλων τῷ δεδωκότι.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Ψυχῆς γὰρ ἐστὶ θεοφιλοῦς ὑποκλίνειν τοῖς θείοις ἅπαν ἀνθρώπινον.

ἐκ τοῦ εἰς ἥρωνα τὸν φιλόσοφον λόγου.

Τὸν μὲν ἐρημικὸν βίον καὶ ἰδιάζοντα καὶ τῶν πολλῶν ἔκφυλον καὶ ἀλλόξιον, μέγαν μὲν καὶ ὑψηλὸν καὶ ὑπὲρ τὰ ἀνθρώπινα εἶναι γινώσκομεν. μέχρις αὐτῶν δὲ μόνων τῶν κατορθούντων ἱστάμενον· καὶ τὸ γῆς ἀγάπης κοινωνικὸν καὶ φιλάνθρωπον ἀπαρνούμενον ἣν ἐν πρώτοις εἶναι τῶν ἐπαινουμένων ἔγνωμεν· πρὸς δὲ καὶ ἀδοκίμαστον· ὡς οὔτε ἐν τοῖς πράγμασι γυμναζόμενον, οὔτε ἄλλοις παραμετρούμενον· τὸν δὲ κοινωνικὸν καὶ ἐπίμικτον πρὸς τῇ βασάνῳ τῆς ἀρετῆς ἔτι καὶ εἰς τοὺς πολλοὺς διατείνοντα· ὡς θείας οἰκονομίας ἐγγὺς ἢ καὶ πεποίηκε τὸ πᾶν καὶ φιλίᾳ συνέδησε· καὶ τὸ ἡμέτερον γένος ἐκπεσὸν τοῦ καλοῦ διὰ τὴν ἐπεισελθοῦσαν κακίαν ἐκ τῆς πρὸς ἡμᾶς ἐπιμιξίας καὶ ὁμιλίας πάλιν ἀνεκαλέσατο.

ἐκ τοῦ

ἐκ τοῦ εἰς τὸν μέγαν ἀθανάσιον λόγου.

Τὸ γὰρ μονάζειν ἐν τῇ εὐσταθείᾳ τοῦ τρόπου μᾶλλον ἢ τῇ τοῦ σώματος ἀναχωρήσει χαρακτηρίζεται καθὸ καὶ δαβὶδ ὁ μέγας πρακτικώτατός τε ἦν ὁ αὐτὸς καὶ μονώτατος· εἴτω τὸ καταμόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω μέγα πρὸς ἀπόδειξιν τοῦ λόγου καὶ ἀξιόπιστον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Σοφώτεροι γὰρ τῶν πολλῶν οἱ κόσμου χωρίσαντες ἑαυτοὺς καὶ τῷ θεῷ τὸν βίον καθιερώσαντες λέγω δὴ τοὺς καθ᾽ ἡμᾶς ναζιραίους καὶ περὶ τὰ τοιαῦτα μάλιστα ἐσπουδακότας.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ενὸς γὰρ εὖ πράττοντος ἢ κακῶς οὐδὲν τῷ κοινῷ τοῦτο ἐπισημαίνειν· τοῦ κοινοῦ δὲ οὕτως ἢ ἐκείνως ἔχοντος, καὶ τὸν καθ᾽ ἕκαστον ὁμοίως ἔχειν πᾶσα ἀνάγκη.

ἐκ τοῦ εἰς ἥρωνα τὸν φιλόσοφον.

Οὗτος τὴν μὲν τῶν πολλῶν αὐθάδειαν ἐνίκα τῇ τοῦ σχήματος ὁμοιότητι· ἔστι δὲ ὧν τὴν ἀπειροκαλλίαν τῇ καινότητι τοῦ ἐνδύματος, δεικνὺς ὅτι μὴ ἐν μικροῖς τὸ εὐσεβές· μὴ δὲ ἐν τῷ κατηφεῖ τὸ φιλόσοφον. ἀλλ᾽ ἐν ψυχῆς στερρότητι καὶ διανοίας καθαρότητι, καὶ γνησίᾳ πρὸς τὸ καλὸν νεύσει· ὅπως ἂν τοῦ σχήματος ἔχωμεν καὶ οἷς τισιν ἂν ὁμιλῶμεν· εἴτε ἡμῖν αὐτοῖς μόνοις συστέλλοντες τὸν νοῦν ἀπὸ τῶν αἰσθήσεων· εἴτε τοῖς πολλοῖς τε καὶ ὁμοφύλοις ἰδιάζοντες

ζοντες ἐν τῷ κοινῷ καὶ φιλοσοφοῦντες ἐν οὐ φιλοσοφοῦσιν· οὔτε αὐτοὶ τὶ πάσχοντες τοῖς πολλοῖς οὐ μᾶλλον γε ἢ ἀδάμας τοῖς παίουσι· καὶ δι' ἑαυτῶν τοὺς ἄλλους βελτίους ποιοῦντες εἰς δύναμιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Πανταχοῦ γὰρ τῷ καθ' ἑαυτὸν τὸ κοινὸν συλλαμβάνειν ψυχῆς εἶναι τελεωτάτης καὶ φιλοσοφωτάτης, οὐδὲ γὰρ ἑαυτῷ γεγενῆσθαι μόνον ἕκαστον ἡμῶν, ἀλλὰ καὶ πᾶσιν ὅσοι τῆς αὐτῆς μετέχουσι φύσεως καὶ παρὰ τοῦ αὐτοῦ καὶ ἐπὶ τοῖς αὐτοῖς γεγόνασιν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Τῇ γὰρ εὐσεβείᾳ τὸ θερμὸν προχωρῆσαν ζῆλος γίνεται· ζῆλος δὲ ἀσφάλεια πίστεως.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐ γὰρ ἵνα χαρισώμεθα ἐπαινεσόμεθα τὸν ἄξιον. καὶ πρός γε τούτῳ, οὐδὲν ἂν ὁ λόγος προσθείη τοῖς πράγμασιν, ὅτι μὴ καὶ τῆς ἀξίας ἐλαττώσῃ διὰ τῆς ἀσθενείας τοῦ ἑαυτοῦ· ἀλλ' ἵνα ἡμᾶς αὐτοὺς ὠφελήσωμεν· τοῦτο γὰρ οὐκ ἔστι περιφρονήσει φιλοσοφία· ἥγε τὸν ἡμέτερον βίον τὸ εὖ ποιεῖν τι ἔργον καὶ σπούδασμα. πρώτη δὲ τῶν εὐεργεσιῶν τὸ ἐπαινεῖσθαι τὰ καλά· ζήλου γὰρ ὁ ἔπαινος πρόξενος· ζῆλος δὲ ἀρετῆς· ἀρετὴ δὲ μακαριότητος· ἣ δὲ τὸ ἄκρον τῶν ἐφετῶν· καὶ πρὸς ὃ τείνει πᾶσα σπουδαία κίνησις.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ α'. λόγου.

Ἡ τῶν ἐν φιλοσοφίᾳ δογμάτων δύναμις τοῖς

μὲν

μὲν ἐπιεικέσιν ἀρετῆς ὅπλον· τοῖς δὲ μοχθηροτέροις κέντρον κακίας γίνεται.

ἐκ τοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγου.

Χρὴ δὲ καὶ νόμον κεῖσθαι παρ' ἡμῖν καθάπερ τοῖς πάλαι σοφοῖς ἑβραίων ἐστὶν ἃς τῶν ἱερῶν βίβλων μὴ ἀνεῖσθαι τοῖς νέοις· ὡς οὐ λυσιτελούσας ταῖς ἀστηρίκταις ἔτι καὶ ἁπαλωτέραις ψυχαῖς, οὕτω μὴ παντὶ, μὴ δὲ πάντοτε, ἀλλ' ἔστιν ὅτε καὶ οἷς τὸν περὶ πίστεως συγχωρεῖσθαι λόγον, τοῖς μὴ παντελῶς ὀλιγωροτέροις λέγω καὶ νωθροῖς τὴν διάνοιαν· ἢ τοῖς μὴ λίαν ἀπλήστοις καὶ φιλοτίμοις καὶ θερμοτέροις τοῦ δέοντος εἰς εὐσέβειαν· καὶ τοῖς μὲν τάττειν ἐνταῦθα οἱ μή τε ἑαυτοὺς βλάψουσι, μή τε ἄλλοις ταττόμενοι· καὶ τὴν ἐν λόγοις ἐλευθερίαν ἔχειν τοὺς μετρίους ἐν λόγῳ καὶ ὡς ἀληθῶς κοσμίους καὶ σώφρονας· τοὺς πολλοὺς δὲ ἀπάγοντας τῆς ὁδοῦ ταύτης· καὶ τῆς νῦν κατεχούσης φιλοκλίας καὶ ἀρεσκείας ἐπ' ἄλλ' ὅτι ζητεῖν ἀρετῆς εἶδος ἀκινδυνότερον· ἔνθα καὶ τὸ ὀλίγωρον ἧττον βλαβερὸν καὶ τὸ ἄπληστον εὐσεβέστερον.

Περὶ μετανοίας· καὶ ὅτι οὐ παντός ἐστι μετέχειν τῆς τελαίας ἀρετῆς.

ἐκ τοῦ εἰς τὸ βάπτισμα λόγου.

Κρεῖσσον μὲν μὴ δεηθῆναι καθάρσεως, μὴ δὲ καθαρθῆναι τοῦ πρώτου μένοντος ἡμῖν ἀξιώματος· μὴ δὲ τοῦ ξύλου τῆς ζωῆς ἐκπεσεῖν τῇ πικρᾷ

γεύσῃ τῆς ἁμαρτίας· κρεῖττον δὲ τοῦ μὴ παιδεύεσθαι πταίοντας τὸ ἁμαρτάνοντας ἐπιστρέφεσθαι.

ἐκ τοῦ εἰς τὰ φῶτα λόγου.

Ὡς οὐδενὶ τοσοῦτον χαίρει θεὸς ὅσον ἀνθρώπου διορθώσει καὶ σωτηρίᾳ.

ἐκ τοῦ εἰς τὴν πληγὴν τῆς χαλάζης λόγου.

Κρεῖσσον μὲν καὶ τυχεῖν τοῦ ἀγαθοῦ καὶ φυλάττειν τὴν κάθαρσιν· εἰ δὲ ἀμφότερα μὴ ἐνδέχεται, κρεῖσσον μικρὰ μολυνθῆναι τοῖς δημοσίοις ἢ παντάπασιν ἐκπεσεῖν τῆς χάριτος· ὥσπερ οἶμαι κρεῖσσον ἐπιτιμηθῆναί τι παρὰ πατρὸς καὶ δεσπότου ἢ ἀπωσθῆναι· καὶ μικρὸν αὐγάζεσθαι ἢ παντελῶς σκοτίζεσθαι· σώφρων δὲ ὥσπερ τῶν ἀγαθῶν τὰ μείζω καὶ τελεώτερα οὕτω καὶ τῶν κακῶν αἱρεῖσθαι τὰ ἐλάττω τε καὶ κουφότερα, κρίνεται γὰρ ἀεὶ μετὰ τῶν ἐπιτηδευμάτων τὸ κατορθούμενον παρὰ τοῦ δικαίου καὶ φιλανθρώπου τῶν ἡμετέρων κριτοῦ· καὶ ὁ μικρὸν κατορθώσας, πολλάκις ἐν τῷ μέσῳ, πλεῖον ἔχει τοῦ ἐν ἐλευθερίᾳ μὴ τὸ πᾶν κατορθώσαντος· ὥσπερ οἶμαι παραδοξότερον ἐν πέδαις μικρὰ προβαίνειν ἢ τρέχειν μηδενὶ βαρούμενον· καὶ διὰ βορβόρου ῥαντίζεσθαι ἢ καθαρὸν εἶναι διὰ καθαρᾶς ὁδοῦ φερόμενον.

ἐκ τοῦ αὐτοῦ λόγου.

Μέγα γὰρ κακίας φάρμακον ὁμολογία καὶ φυγὴ τοῦ πταίσματος.

ἐκ τοῦ αὐτοῦ εἰς ἥρωνα τὸν φιλόσοφον.

Κρεῖσσον καμεῖν ἐν τοῖς λογισμοῖς μετὰ τῆς ὁδηγίας τοῦ πνεύματος ἢ περιχειρέως ἀσεβῆσαι τοῦ ῥαστώνην διώκοντα.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανόν.

Οὐδενὶ γὰρ οὕτω τῶν ἁπάντων ὡς κακοπαθείᾳ θεὸς θεραπεύεται καὶ δάκρυσι τὸ φιλάνθρωπον ἀντιδίδοται.

ἐκ τοῦ κατὰ Ιουλιανοῦ στηλιτευτικοῦ α΄.

λόγου.

Ἁμαρτία μὲν γὰρ ἐπιγνώσεως μητὴρ ἐπιγραφῆς δὲ ταπεινώσεως.

ἐκ τοῦ αὐτοῦ λόγου.

Πολλὰς γὰρ καὶ παραδόξους ὁδοὺς σωτηρίας οἶδε τὸ θεῖον καινοτομεῖν, νεῦον πρὸς τὸ φιλάνθρωπον.

ἐκ τοῦ αὐτοῦ λόγου.

Τῆς ἡμετέρας νομοθεσίας τὰ μὲν ἀνάγκην ἔχει τοῖς ἐπιτεττομένοις ἃ καὶ μὴ φυλάττουσι κίνδυνος· τὰ δὲ οὐκ ἀνάγκην ἔχει, αἵρεσιν δέ· ἃ φυλάττουσι μέν, τιμὴν καὶ ἀντίδοσιν· μὴ φυλάττουσι δέ, οὐ δέ ὅν τινα οὖν κίνδυνον. εἰ μὲν γὰρ οἷόν τε ἦν ἅπαντας ἀρίστους εἶναι καὶ τοῦ ἄκρου τῆς ἀρετῆς βαίνειν, τοῦτ᾽ ἂν ἦν κράτιστόν τε καὶ τελεώτατον· ἐπεὶ δὲ χωρὶς τὰ θεῖα τῶν ἀνθρωπίνων· καὶ τοῖς μὲν οὐκ ἔστιν ὅτι περ μὴ τῶν καλῶν μετέστι τοῖς δὲ μέγα κἂν εἰ τοῦ μέσου τυγχάνοιεν.

ὡς γὰρ

ὡς γὰρ οὐ κολάσεως ἄξιος ἤδη καὶ ἀναῤῥήσεως οὕτως ὅς τις οὐκ ἀναῤῥήσεως ἤδη καὶ τιμωρίας, ἀλλ' ἐν ὅροις ἀεὶ μένοντας τῆς ἡμετέρας φιλοσοφίας καὶ τῆς ἀνθρωπίνης δυνάμεως οὕτως ἀπαιτεῖν καὶ κατορθούμενον.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ β'. λόγου.

Μέγα μὲν τὸ μηδενὸς πειραθῆναι τῶν δυσχερῶν ἴσως δὲ οὐδὲ μέγα· εἴπερ ἀληθὴς ὁ λόγος ὅτι ὃν ἀγαπᾷ κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται, καὶ οὐ κήδεται. ἀλλὰ μέγα μὲν τὸ μὴ δὲ τὴν ἀρχὴν τυχεῖν ἁμαρτόντας ἢ μὴ τὰ μέγιστα· ἐπειδὴ τὸ παντελῶς ἀναμάρτητον θεοῦ· δεύτερον δὲ ὡς ἔμοιγε δοκεῖ τὸ, πταίσαντάς τι καὶ παιδευθέντας, εἶτα ἐπανελθόντας ἐν αἰσθήσει γοῦν διαμεῖναι τῆς παιδαγωγίας καὶ φυγεῖν δευτέραν ἐκ δευτέρας κακίας μάστιγα.

ἐκ τοῦ εἰρηνικοῦ δευτέρου λόγου.

Εἰ δέ τις ἐν ἕξει τινὸς καλοῦ γένοιτο καὶ ἀπ' αὐτοῦ ποιωθείη, τὸ μεταπεσεῖν ἐργωδέστερον ἢ γενέσθαι ἀπ' ἀρχῆς ἀγαθόν· ἐπειδὴ χρόνῳ καὶ λόγῳ βεβαιωθὲν ἅπαν καλὸν φύσις καθίσταται.

ἐκ τοῦ περὶ θεολογίας λόγου.

Χρόνῳ τὸ ἔθος βεβαιωθὲν ἐνομίσθη νόμος.

ἐκ τοῦ αὐτοῦ λόγου.

Φιλεῖ γὰρ τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι

τεῖσθαι· τὸ δὲ ῥᾳδίως κτηθὲν καὶ ἀποπτύεσθαι τάχιστα ὡς πάλιν ληφθῆναι δυνάμενον.

ἐκ τοῦ εἰς τὸν μέγαν ἀθανάσιον ἐπιταφίου.

Καὶ γὰρ οὕτως ἔχω ἐν τοῖς ἀμφιβόλοις νεύειν χρῆναι πρὸς τὸ φιλάνθρωπον· καὶ ἀπογινώσκειν μᾶλλον ἢ καταγινώσκειν τῶν ὑπαιτίων, ὁ μὲν γὰρ κακὸς τάχιστα ἂν καταγνοίη καὶ τοῦ ἀγαθοῦ· ὁ ἀγαθὸς δὲ οὐδὲ τοῦ κακοῦ ῥᾳδίως· τὸ γὰρ εἰς κακίαν οὐχ ἕτοιμον οὐδὲ εἰς ὑπόνοιαν εὐχερές.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ λόγου ἡνίκα ἀπέτρεψεν αὐτὸν φροντίζειν καὶ τῆς ναζιάνζου ἐκκλησίας.

Βραδὺ γὰρ εἰς ὑπόνοιαν κακοῦ τὸ πρὸς κακίαν δυσκίνητον.

ἐκ τοῦ κατὰ Ιουλιανοῦ στηλιτευτικοῦ α΄. λόγου.

Αφύλακτον μὲν γὰρ ἡ ἁπλότης καὶ μετὰ τοῦ σαθροῦ τὸ φιλάνθρωπον· καὶ ἥκιστα κακίαν ὑφορᾶται τὸ κακίας ἐλεύθερον.

Περὶ ἐξαγορεύσεως καὶ τοῦ μὴ δεῖν διακρίνεσθαι πρὸς τοὺς ἱερεῖς εἰ μὴ προδήλως εἰσὶ κατεγνωσμένοι· καὶ περὶ τοῦ ἐξεῖναι καὶ ἀφ' ἑαυτῶν ἐργάζεσθαι τὸ ἀγαθόν.

ἐκ τοῦ εἰς τὸ βάπτισμα λόγου.

Μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τὴν ἁμαρτίαν, εἰδὼς ὅπως Ιωάννης ἐβάπτισεν· ἵνα τὴν ἐκεῖθεν αἰσχύνην τῇ ἐνταῦθα φύγῃς, ἐπειδὴ μέρος καὶ τοῦτο τῆς ἐκεῖσε κολάσεως, καὶ δείξῃς ὅτι τὴν ἁμαρτίαν ὄντως μεμίσηκας παραδειγματίσας αὐτὴν καὶ θριαμβεύσας ὡς ἀξίαν ὕβρεως.

ἐκ τοῦ

ἐκ τοῦ αὐτοῦ λόγου.

Μὴ εἴπῃς ἐπίσκοπος βαπτισάτω με καὶ οὗτος μητροπολίτης ἢ ἱεροσολυμίτης· οὐ γὰρ τόπων ἡ χάρις ἀλλὰ τοῦ πνεύματος· καὶ οὗτος τῶν εὖ γεγονότων· ἢ πρεσβύτερον μὲν ἀλλὰ καὶ οὗτος τῶν ἀγάμων· καὶ οὗτος τῶν ἐγκρατῶν καὶ ἀγγελικῶν τὴν πολιτείαν. μὴ ζήτει ἀξιοπιστίαν τοῦ κηρύσσοντος, μὴ δὲ τοῦ βαπτίζοντος· ἄλλος ὁ τούτων κριτὴς καὶ τῶν ἀφανεστέρων δοκιμαστὴς ἐπειδὴ ἄνθρωπος μὲν εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν· σοὶ δὲ πᾶς ἀξιόπιστος εἰς τὴν κάθαρσιν, μόνον ἔστω τις τῶν ἐγκρίτων καὶ μὴ τῶν προδήλως κατεγνωσμένων. μὴ δὲ τῆς ἐκκλησίας ἀλλότριος· μὴ κρίνε τοὺς κριτὰς ὁ χρήζων τῆς ἰατρείας· μὴ δὲ φιλοκρίνει μοι τὰς ἀξίας τῶν σὲ καθαιρόντων· καὶ μὴ διακρίνου πρὸς τοὺς γεννήτορας· ἄλλος μὲν ἄλλου κρείττων ἢ ταπεινότερος· σοῦ δὲ πᾶς ὑψηλότερος, σκόπει δὲ οὕτως· ἔστω χρυσὸς, ἔστω σίδηρος, δακτύλιοι δὲ ἀμφότεροι· καὶ τὴν αὐτὴν ἐγκεχαράχθωσαν εἰκόνα βασιλικήν· εἶτα κηρὸν ἐκτυπούτωσαν· τί διοίσει ἡ σφραγὶς αὕτη τῆς σφραγίδος ἐκείνης, οὐδέν· ἐπίγνωθι τὴν ὕλην ἐν τῷ κηρῷ· κἂν ἧς σοφώτατος εἰπὲ τί μὲν τοῦ σιδήρου, τί δὲ τοῦ χρυσοῦ τὸ ἐκτύπωμα καὶ πῶς ἕν ἐστι διὰ τὴν ὕλης τὸ διάφορον οὐ τοῦ χαρακτῆρος· οὕτως ἔστω σοι πᾶς βαπτιστής· κἂν τῇ πολιτείᾳ προέχῃ, ἀλλ' ἥγε τοῦ βαπτίσματος δύναμις ἴση· καὶ τελειοποιός σοι πᾶς ὁμοίως ὁ τῇ αὐτῇ πίστει μεμορφωμένος.

ἐκ τοῦ

ἐκ τοῦ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου λόγου.

Ἣν βούλει δέξαι μερίδα, ἢ ἐπακολούθησον τῷ διδασκάλῳ, ἢ γενοῦ σαυτοῦ διδάσκαλος· ἓν αἰσχρὸν μόνον, τὸ μὴ τμηθῆναι τὰ πάθη, περὶ δὲ τοῦ πόθεν τμηθῆναι μηδὲν διαφέρει· καὶ ὁ διδάσκαλος πλάσμα θεοῦ· καὶ σὺ γέγονας ἐκεῖθεν· κἄν τε ὁ διδάσκαλος ἁρπάσῃ τὴν χάριν· κἄν τε γένηται σὸν τὸ καλὸν, καλὸν ὁμοίως ἐστὶ μόνον ἐκτεμνωμένων ἑαυτοὺς τῶν παθῶν.

Περὶ κακοπαθείας καὶ πειρασμοῦ τῶν δικαίων.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Οὐδὲν θαυμαστὸν εἰ κακοπαθοῦσιν ἅγιοι· εἴτε εἰς κάθαρσιν καὶ τῆς μικρᾶς ἰλύος· εἴτε εἰς βάσανον ἀρετῆς καὶ πεῖραν φιλοσοφίας· εἴτε εἰς παίδευσιν τῶν ἀσθενεστέρων, ἐν ἐκείνοις μανθανόντων τὸ καρτερεῖν, ἀλλὰ μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσιν.

ἐκ τοῦ εἰς τὸν μέγαν ἀθανάσιον ἐπιταφίου.

Παραδίδονται δὲ καὶ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα αὐτοὶ δοκιμασθῶσι· καὶ φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ κατὰ τὸ γεγραμμένον, καταγελῶνται δὲ ὅμως πρὸς τὸ παρὸν εὐσεβεῖς ἕως ἡ χρηστότης τοῦ θεοῦ κρύπτηται· καὶ τὰ μεγάλα ταμιεῖα τῶν ὕστερον ἑκατέροις ἀποκειμένων ἡνίκα πρᾶξις καὶ λόγος καὶ διανόημα τοῖς δικαίοις σταθμοῖς τοῦ θεοῦ ταλαντεύεται ὅταν ἀναστῇ κρίναι τὴν γῆν· τὴν βουλὴν καὶ τὰ ἔργα ἄγων καὶ γυμνῶντα ἐσφραγισμένα παρ' αὐτῷ καὶ σωζόμενα.

ἐκ τοῦ αὐτοῦ λόγου.

Πρὸς γὰρ τὸ ἀντιτεῖνον μάλιστα ἡ παράταξις.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανόν.

Οἶδε γὰρ πόῤῥωθεν καταβάλλεσθαι τῶν μεγάλων πραγμάτων ἡ σοφία τὰς ὑποθέσεις· καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖσθαι· ἵνα καὶ πλεῖον θαυμάζηται.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ταχεῖαι γὰρ πρὸς τὴν τῶν κακῶν ὑπηρεσίαν αἱ ἀποστατικαὶ δυνάμεις καὶ φθονεραί· πολλοὺς κοινωνοὺς ζητοῦσαι τοῦ πτώματος.

ἐκ τοῦ αὐτοῦ λόγου.

Εὐμήχανον γὰρ ἅπαν τὸ πιεζόμενον.

ἐκ τοῦ εἰς τὸν λαὸν καὶ τοὺς ποιμένας μετὰ τὰ κατὰ μάξιμον.

Οὐδεὶς οὕτως ἀρχιτέκτων οὐδενὸς τῶν ποικίλων ὡς σοφιστὴς τῆς κακίας ὁ ἀντικείμενος.

ἐκ τοῦ εἰς τὰ φῶτα λόγου.

Τὸ γὰρ δυσμαχώτερον περιασπουδαστότερον.

ἐκ τοῦ συντακτηρίου λόγου.

Τὸ γὰρ προδήλως ἐχθρὸν εὐφύλακτον· τὸ δὲ ἀνύποπτον καιριώτερον.

Περὶ τοῦ κατὰ χριστὸν μαρτυρίου, καὶ ὅτι οὐ χρὴ ἀκαίρως ἐπιῤῥίπτειν αὐτοὺς εἰς κινδύνους· καὶ περὶ τῆς τοῦ θεοῦ μαρτυρίας.

ἐκ τοῦ εἰς καισάριον τὸν ἀδελφὸν λόγου.

Ἐνστάντος μὲν καιροῦ διακινδυνεύειν δεῖ ὑπὲρ

τῆς

τῆς ἀληθείας καὶ μὴ προδιδόναι δειλίᾳ τὴν εὐσέβειαν· ἕως δ' ἂν ἐξῇ μὴ προκαλεῖσθαι τοὺς κινδύνους· εἴτε δέει τῶν ἡμετέρων ψυχῶν, εἴτε φειδοῖ τῶν ἐπαγόντων τὸν κίνδυνον.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου λόγου.

Νόμος δὲ μαρτυρίας μή τε ἐθελοντὰς χωρεῖν φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων· μήτε παρόντας ἀναδύεσθαι· τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀνανδρίας ἐστίν.

ἐκ τοῦ εἰς τὸ ἅγιον πάσχα δευτέρου λόγου.

Τὸ μετὰ χριστοῦ πάσχειν καὶ ὑπὲρ χριστοῦ, τοῦ μετ' ἄλλων τρυφᾶν αἱρετώτερον.

ἐκ τοῦ εἰς τὸν μέγαν κυπριανὸν λόγου.

Οὐ γὰρ μικρὸν δύνασθαι καὶ λόγον εἰς ἀνδρείας προσθήκην τοῖς ἀποδυομένοις πρὸς τὸ τῆς ἀρετῆς στάδιον.

ἐκ τοῦ αὐτοῦ λόγου.

Πᾶσι γὰρ τὸ καλὸν ὁμοίως αἰδέσιμον.

ἐκ τοῦ εἰς τοὺς ἁγίους μακκαβαίους λόγου.

Ἴσασι γὰρ θαυμάζειν ἀνδρὸς ἀρετὴν καὶ πολέμιοι· ὅταν τοῦ θυμοῦ λήξαντος ἡ πρᾶξις ἐφ' ἑαυτῆς δοκιμάζεται.

ἐκ τοῦ εἰς ἥρωνα τὸν φιλόσοφον λόγου.

Οὐδὲν γὰρ οὕτως νικᾷ τὸν διώκοντα ὡς προθυμία τοῦ πάσχοντος.

ἐκ τοῦ κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ πρώτου λόγου.

Χρὴ γὰρ μὴ τὰ ἑαυτῶν μόνον σκοπεῖν χριστιανοὺς

νοὺς ὄντας. μὴ δὲ εἰ λίαν εἶεν ἀνδρικώτατοι καὶ καρτερικώτατοι· ἀλλὰ καὶ τῶν διωκόντων φείδεσθαι, ὡς τόγε εἰς αὐτοὺς ἧκον μέρος μὴ τῷ κινδύνῳ τὶ συνεισφέρειν τῶν πολεμίων.

ἐκ τοῦ κατ' Ἰουλιανοῦ στηλιτευτικοῦ β'. λόγου.

Θάρσος καὶ θράσος κἂν εἰ τοῖς ὀνόμασι πλησιάζοι, πλεῖστον ἀλλήλων τῇ δυνάμει κεχώρισται, ἀνδρείαν τε ἣν φαμὲν καὶ ἀνανδρίαν. τὸ μὲν γὰρ ἐν τοῖς τολμητέοις θαῤῥεῖν ἀνδρείας ἐστὶν, ὥσπερ τὸ ὑφίεσθαι δειλίας, οὗ δὲ πλείων ὁ κίνδυνος ὁμόσε χωρεῖν καὶ ὠθίζεσθαι, ἀλλὰ μὴ κατέχεσθαι θράσους· ὥσπερ τὸ ὑποχωρεῖν ἀσφαλείας καὶ οὐ τοῦ αὐτοῦ λόγου θετέον, φυλάξαι τὰ ὄντα καὶ τῶν οὐκ ὄντων τί προσλαβεῖν. τὸ μὲν γὰρ μάλιστα καὶ πρῶτον τοῖς νοῦν ἔχουσι τιμητέον· τὸ δὲ ἂν μὲν ὑπάρχῃ μετὰ ῥᾳστώνης δεκτέον. ἂν δὲ ἀντιπίπτῃ παροπτέον. ὁ δὲ ὑπὲρ τοῦ κτήσασθαί τι τῶν ἐλπιζομένων· πᾶσι τοῖς ὑπάρχουσι κινδυνεύων λίαν ἀνόητος. καί μοι προσεοικέναι δοκεῖ πύκτῃ κακῷ τὴν τέχνην πρὶν τὴν τάσιν εὖ θέσθαι προβαλλομένῳ, ἢ κυβερνήτῃ λελυμένης αὐτῷ τῆς νηὸς καὶ οὐ πλοίμως ἐχούσης ναῦν καταδύοντι πολεμίαν ἢ καταδύσειν ἐσπουδακότι.

ἐκ τοῦ αὐτοῦ λόγου.

Ενταῦθα μόνον οὐκ ἀνάσχοιτο θεὸς τῆς συνήθους μακροθυμίας. ἔνθα πολλοῖς κακὸν ἦν τὸ φιλάνθρωπον, καὶ πολλὴν μὲν παρέξειν μέλλῃ ἀθυμίαν

τοῖς

τοῖς κατορθοῦσι· πολλὴν δὲ τοῖς ἁμαρτάνουσι καταφρόνησιν, ὡς οὐκ ἐφορῶντος οὐδενὸς τὰ ἡμέτερα· οὐδὲ οὔσης τινὸς κυβερνήσεως ἢ ἀνταποδόσεως· ἀλλὰ τοῦ αὐτομάτου τὸ πᾶν φέροντός τε καὶ περιέποντος, ἃ διανοίας ἐστὶ πονηρᾶς καὶ λίαν ἐπισφαλοῦς περὶ τῶν μεγίστων διακειμένης.

ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ ἐπιταφίου.

Θεοῦ μὲν ὀργῆς ζυγίαν τινὰ καὶ πιστεύομεν καὶ ἀκούομεν τὸ λεῖμμα τὸ κατὰ τῶν ἀξίων κινήσεως· ἐπειδὴ Θεὸς ἐκδικήσεων κύριος· εἰ γὰρ καὶ κλίνει διὰ φιλανθρωπίαν ἐκ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, ἀλλ' οὐ πάντη συγχωρεῖ τοῖς ἁμαρτάνουσιν, ἵνα μὴ τῇ χρηστότητι χείρους γένωνται.

Περὶ τοῦ μὴ δεῖν ἐν πᾶσιν εἰρηνεύειν.

ἐκ τοῦ εἰρηνικοῦ α'. λόγου.

Κρείσσων ἐμπαθοῦς ὁμονοίας ὑπὲρ εὐσεβείας διάστασις.

ἐκ τοῦ ἀπολογητικοῦ α'. λόγου.

Κρείσσων ἐπαινετὸς πόλεμος εἰρήνης χωριζούσης Θεοῦ.

ἐκ τοῦ εἰρηνικοῦ α'. λόγου.

Μηδεὶς οἰέσθω με λέγειν ὅτι πᾶσιν εἰρήνην ἀγαπητέον. οἶδα γὰρ ὥσπερ στάσιν τινὰ βελτίστην, οὕτω καὶ βλαβερωτάτην ὁμόνοιαν· ἀλλὰ τήν τε καλὴν καὶ ἐπὶ καλῷ καὶ Θεῷ συνάπτουσαν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐδὲν οὕτως ἰσχυρὸν εἰς ὁμόνοιαν τοῖς γνησίοις τὰ πρὸς τὸν Θεὸν ὡς ἡ περὶ Θεοῦ συμφωνία. καὶ

οὐδὲν οὕτως ἕτοιμον εἰς διάστασιν ὡς ἡ περὶ τούτου διαφωνία, καὶ γὰρ ὁ τὰ ἄλλα ἐπιεικέστατος, περὶ τούτου θερμότατος· καὶ ὁ πρᾶος ὄντως γίνεται μαχητής· ὅταν ἴδῃ τῇ μακροθυμίᾳ θεὸν ζημιούμενος, μᾶλλον δὲ θεὸν ζημιῶν τῷ ἑαυτοῦ πταίσματι τὸν ἡμᾶς πλουτοῦντά τε καὶ πλουτίζοντα.

ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐδὲν γὰρ οὕτω τῶν πάντων φοβητέον ὡς ἄλλό τι πρὸ θεοῦ φοβηθῆναι καὶ διὰ τοῦτο προδοῦναι τοὺς περὶ πίστεως λόγους καὶ τῆς ἀληθείας ἀληθείᾳ δουλεύοντας. οὐ δὲ τὸ λυποῦν ὑπόνοια καὶ φόβος ἀνεξέταστος, βέλτιον τοῦ τάχους ἡ μακροθυμία· καὶ τῆς αὐθαδείας ἡ συγκατάβασις. καὶ πολλῷ κρεῖττον καὶ λυσιτελέστερον ἐν τῷ κοινῷ σώματι μένοντας καταρτίζειν ἀλλήλους ὡς ἀλλήλων μέλη καὶ καταρτίζεσθαι· ἢ προκαταγνόντας διὰ τῆς ἀποστάσεως καὶ τὸ ἀξιόπιστον τῷ χωρισμῷ λύσαντας· ἔπειτα ἐξ ἐπιτάγματος ὥσπερ τυράννοις ἀλλ' οὐ κατ' ἀδελφοὺς νομοθετεῖν τὴν διόρθωσιν.

ἐκ τοῦ εἰρηνικοῦ τρίτου λόγου.

Ἔστι καὶ στασιάζειν τινὰς ἢ συμφρονεῖν ἄμεινον. τὰς γὰρ ἐπὶ κακῷ συστάσεις τίς ἂν ἐπαινέσειεν εὖ φρονῶν.

ἐκ τοῦ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίου.

Τ' ἄλλα μὲν γὰρ ἐπιεικεῖς ἡμεῖς καὶ παντὸς ἄλλου ταπεινότεροι τοῦτο τῆς ἐντολῆς κελευούσης μὴ δὲ τῶν τυχόντων ἐνὶ τὴν ὀφρὺν αἴροντες· οὐ δὲ θεὸς τὸ

κινδυ-

Digitized by Google

κινδυνευόμενον καὶ προκείμενον· τ' ἄλλα παραφρονοῦντες πρὸς αὐτὸν μόνον βλέπομεν.

ἐκ τοῦ εἰς τὸν μέγαν ἀθανάσιον ἐπιταφίου.

Πεφύκασι γὰρ ἡμῶν ὅσοι τὸ φιλόθεον καὶ φιλόσοφον ἔχουσι· κἂν τ' ἄλλα ὦσιν εἰρηνικοί τε καὶ μέτριοι, τοῦτό γε οὐ φέρουσιν ἐπιεικεῖς εἶναι θεὸν προδιδόναι διὰ τῆς ἡσυχίας, ἀλλὰ καὶ λίαν εἰσὶν ἐνταῦθα πολεμικοί τε καὶ δύσμαχοι. τοιοῦτον γὰρ ἡ τοῦ ζήλου θερμότης· καὶ θᾶττον ἄν τι μὴ δέον παρακινήσαιεν ἢ δέον παραλίποιεν.

ἐκ τοῦ συντακτηρίου λόγου.

Οὐ γὰρ ἀπαιδεύτους παιδευόμενοι οὐδὲ ταῖς ὕβρεσι βαλλόμενοι ὅπερ πάσχουσιν οἱ πολλοὶ μὴ τῷ λόγῳ μαχόμενοι, τοῖς δὲ λέγουσι καὶ τὴν ἀσθένειαν ἐστιν ὅτε τῶν λογισμῶν ταῖς ὕβρεσι συγκαλύπτοντες· ὥσπερ τὰς σηπίας λόγος ἐμεῖν τὸ μέλαν πρὸ ἑαυτῶν ἵνα τοὺς θηρεύοντας διαφύγωσιν ἢ τὸ λανθάνειν θηράσωσιν· ἀλλὰ τὸ περὶ Χριστοῦ πολεμεῖν δεικνύμενοι ἐν τῷ μάχεσθαι κατὰ Χριστὸν τὸν εἰρηνικόν τε καὶ πρᾶον καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντα. οὔτε εἰρηνευόμενοι κατὰ τοῦ λόγου τῆς ἀληθείας ὑφιέντες τι διὰ δόξαν τῆς ἐπιεικείας. οὐ γὰρ κακῶς τὸ καλὸν θηρευόμενοι· καὶ εἰρηνευόμενοι ἐννόμως μαχόμενοι καὶ εἴσω τῶν ἡμετέρων ὅρων καὶ κανόνων τοῦ πνεύματος. περὶ μὲν οὖν τούτων οὕτως ἔχω· καὶ νόμον τίθημι πᾶσι πιστῶν ψυχῶν οἰκονόμοις καὶ τοῦ λόγου ταμίαις· μήτε τῷ σκληρῷ τραχύνειν.

μή τε τῷ ὑπεσταλμένῳ κατεπαίρειν· ἀλλ' εὐλόγοις εἶναι περὶ τὸν λόγον, μηδετέρῳ τὸ μέτριον ὑπερβαίνοντας.

ἐκ τοῦ στηλιτευτικοῦ πρώτου λόγου.

Δέον χρηστότητι νικᾶν θρασύτητα καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας οἷς καρτεροῦμεν πάσχοντες.

Περὶ κοιμήσεως δικαίων· καὶ ὅτι ὑποχωροῦσα τοῦ σώματος ἡ ψυχὴ ἐν συναισθήσει γίνεται τοῦ μέλλοντος αὐτὴν διαδέχεσθαι ἀγαθοῦ ἢ κακοῦ, καὶ ὅτι τῶν ἐντεῦθεν εἰς αὐτὰς τελουμένων αἰσθάνονται· αἱ δὲ τῶν δικαίων καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν δύνανται.

ἐκ τοῦ εἰς καισάριον τὸν ἀδελφὸν αὐτοῦ ἐπιταφίου.

Ὦ ζωῆς καὶ θανάτου κύριε· ὦ ψυχῶν ἡμετέρων ταμία καὶ εὐεργέτα· δέχοιο δὴ καὶ ἡμᾶς ἐν καιρῷ εὐθέτῳ, οἰκονομήσας ἐν τῇ σαρκὶ ἐφ' ὅσον ἂν ᾖ συμφέρον· δέχοιο δὲ διὰ τὸν σὸν φόβον ἑτοιμασθέντας, καὶ οὐ ταρασσομένους οὐδὲ ὑποχωροῦντας ἐν ἡμέρᾳ τῇ τελευταίᾳ, καὶ βίᾳ τῶν ἐντεῦθεν ἀποσπωμένους. ὃ τῶν φιλοκόσμων ψυχῶν πάθος καὶ φιλοσάρκων· ἀλλὰ προθύμους πρὸς τὴν αὐτόθι ζωὴν τὴν μακραίωνά τε καὶ μακαρίαν.

ἐκ τοῦ αὐτοῦ λόγου.

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μέλλοντος αὐτὴν ὑποδέχεσθαι καλοῦ γινομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ οὐκ οἶδ' ὅτι καὶ λέγειν χρὴ θαυματίαν

μασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται· καὶ ἵλεως χωρεῖ πρὸς τὴν ἑαυτῆς δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐντεῦθεν βίον ἀποφυγοῦσα, καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο· καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα, μικρὸν δὲ ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα, ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησε παρὰ τῆς καὶ δούσης καὶ πιστευθείσης γῆς τρόπον, ὃν οἶδεν ὁ ταῦτα συνδήσας καὶ διαλύσας θεὸς, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης· καὶ καθάπερ τῶν μοχθηρῶν αὐτοῦ μετεῖχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῶν τερπνῶν ἑαυτῆς μεταδίδωσιν ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γινομένη σὺν τούτῳ ἓν καὶ πνεῦμα, καὶ νοῦς, καὶ θεὸς καταποθέντος ὑπὸ τῆς ζωῆς τοῦ θνητοῦ τε καὶ ῥέοντος.

ἐκ τοῦ εἰς τὴν ἰδίαν ἀδελφὴν
λόγου.

Εἰ δέ τις σοί καὶ τῶν ἡμετέρων τιμῶν ἐστὶ λόγος, καὶ τοῦτο ταῖς ὁσίαις ψυχαῖς ἐκ θεοῦ γέρας τῶν τοιούτων ἐπαισθάνεσθαι, δέχοιο καὶ τὸν ἡμέτερον λόγον ἀντὶ πολλῶν καὶ πρὸ πολλῶν ἐνταφίων ὧν Καισαρίῳ πρὸ σοῦ καὶ σοὶ μετ' ἐκεῖνον ἀποδεδώκαμεν.

ἐκ τοῦ εἰς τὸν μέγαν Βασίλειον ἐπι-
ταφίου.

Σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν ὦ θεία καὶ ἱερὰ

κεφαλή. καὶ τὸν δεδομένον ἡμῖν σκόλοπα τῆς σαρκὸς τὴν ἡμετέραν παιδαγωγίαν· ἢ στήσαις ταῖς ἑαυτοῦ πρεσβείαις ἢ πείσαις καρτερῶς φέρειν. καὶ τὸν πάντα βίον ἡμῶν διεξάγοις πρὸς τὸ λυσιτελέστατον.

ἐκ τοῦ εἰς τὸν μέγαν ἀθανάσιον ἐπιταφίου.

Ἀλλ' ὦ φίλη καὶ ἱερὰ κεφαλή· ἡμῖν μὲν ἐνταῦθα στήσαις τὸν λόγον. εἰ καὶ τῆς ἀληθείας ἐνδεέστερον, ἀλλὰ τοῦ γε πρὸς δύναμιν οὐ λειπόμενον αὐτὸς δὲ ἄνωθεν ἡμᾶς ἐποπτεύοις ἵλεως καὶ λόγον τὸν διεξιόντα διεξιόντα διεξάγοις τέλειον, τελείας τῆς τριάδος προσκυνητήν, τῆς ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι θεωρουμένης καὶ σεβομένης. καὶ ἡμᾶς εἰ μὲν εἰρηνικῶς ἐπανάγοις ἢ προσλαμβάνοις· καὶ στήσαις μετὰ σαυτοῦ καὶ τῶν οἷος σὺ κἂν μέγα ἦ τὸ αἰτούμενον ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα, τιμή, καὶ κράτος εἰς τοὺς αἰῶνας ἀμήν.

ΣΥΓ-

ΣΥΓΚΡΙΣΙΣ ΒΙΩΝ, ΤΟΥ ΑΥΤΟΥ.

Κρίναις ἂν ἡμῖν ὦ ξένε. κρίσις δέ τις;
βίοι μάχονται. καί τινες; τίς δ' ἡ κρίσις;
ὁ κοσμικός τε καὶ ὅσος τοῦ πνεύματος·
πότερος ἀμείνων καὶ σοφοῖς βιώσιμος;
ὡς δύσκριτον μέν, ἀλλ' ὅμως ἀκουστέον.
κόσμου πεφυκὼς, οἶδα καὶ στέργω τάδε·
τό δ' εὐσεβὲς, πατρῷον αἰδεῖσθαι νόμον·
θεοῦ πεφυκὼς, οἶδα καὶ σέβω θεόν·
τό δ' εὐσεβὲς, τέλειον εἰδέναι σέβας·
εἴ σοι τὸ χεῖρον ἐστὶ τιμιώτατον,
πῶς οὐκ ἐμοὶ τὸ κρεῖσσον ἐνδικώτερον;
μήτηρ ἐμοὶ σάρξ· καὶ συνεκράθην χοΐ.
σαρκός ποθῶ πλήρωμα τῆς ἐῤῥηγμένης·
θεός πατήρ μοι καὶ θεῷ συνεζύγην.
μορφῆς ποθῶ μίμησιν ἧς ἀπεῤῥύην.
πῶς δ' ἂν συνέστη φράζε τὸ βροτῶν γένος;
εἰ μὴ τὸ σαρκῶν συζυγὲς συνέδραμε,
νόμῳ τε θείῳ καὶ φύσει κρατούμενον·
νόμος μὲν ἐστί· νῦν δὲ λυθῆναι με δεῖ.
βίον πρὸς ἄλλον τοῦ παρόντος κρείσσονα,
σπεύδοντα δεσμῶν καὶ φθορᾶς ἐλεύθερον.

πῶς οὖν νεήλυς ἦλθε παρθένος βίος;
ἦν μὲν σκιώδης καὶ πάλαι· λάμπει δὲ νῦν,
ἐξ οὗ θεοῦ πέφηνε μήτηρ παρθένος.
καὶ γὰρ νόμος παλαιὸς εἶξε τῷ νέῳ,
τὸ γράμμ' ἀπῆλθε τὸ κράτος καὶ πνεύματος,
ἄθρυξ δ' ἂν ἦν τις συζύγου βίου δίχα,
ἢ τίς δίκαιος; ὡς λίαν κομψός τις εἶ,
πείθων τὸ σάρκα συνδραμεῖν καλῶν χάριν,
καλοὺς μὲν ἐξέθρεψεν ἢ κακούς, χρόνος·
ὕβριν δὲ σαρκός, ὁ σπορεὺς ἐπέβλυσεν.
οὐκ ἄλλο, τὸ φρονεῖν δὲ τῷ πάθει γέλως.
ὡς συγκάμνοντα τῷ θεοῦ θελήματι·
τί οὖν βίῳ δέδωκας; ἐζήτεις δέ τι
κλάδους, ἵνα ψυγῶσιν, ἢ λαίλαψ λάβοι,
δὸς τὴν ἐμὴν σὺ ῥίζαν· εἶτ' ἔχει κλάδους.
ἀρκεῖ γενέσθαι. τῇ φθορᾷ δ' ἄλλος κάμοι.
τρέφων, διδάσκων, εἶτα πενθῶν ἀθρόως.
τὸν οὐκ ἔτ' ὄντα γραπτὸν ἐν τοίχοις βλέπων
ἄπνουν τὸ κάλλος, υἱὸν οὐ κινούμενον·
εὐπατρίδης ἐγώ τις· ἐκ ποίου γένους;
ποῖος δ' ὁ πλάστης, τὸν δὲ πηλὸν ἀγνοεῖς.
ὡς εἷς μί' εὐγένεια, μίμησις θεοῦ·
τάφοις κρατεῖς σὺ καὶ νέοις προστάγμασιν,
ἐξ ὧν ἐγράφης εὐγενὴς οὐκ ἐγράφης.
ἐμοὶ τὸ πλουτεῖν δυσμενεῖς βάλλει κάτω.
φθόνῳ δὲ τήκει· τοὺς κακοὺς ποιεῖ φίλους.
θρόνοις δίδωσιν ἐν πόλει φυσᾶν μέγα.

ἐμοὶ δὲ πενία, μὴ δὲ δυσμενεῖς ἔχειν.
χαρίζετ' οἶκτος δ' ἀσφαλέστερος φθόνου.
θρόνοι δὲ *λυτοὶ καὶ φίλοι καιροῦ πλέον. *λιτοὶ
ἂν οὖν μένωσι, κρεῖσσον ἡττᾶσθαι θεοῦ.
ὦ πρῶτα πάντων τῶν ὁρωμένων ἔχειν,
ἢ πάντων εἶναι τῶν ὁρωμένων ἄνω.
πόλις δ' ἔχοι με λαμπρὸν ἡ νοουμένη.
τίς δ' ἀσφάλεια τῷ πένητι τοῦ βίου;
τείχη, πυλῶνες, μηχαναί, ξιφηφόροι,
κάμνοντες, ὥς τε μὴ τὸ σῶμ' ὑπεκκλαπῇ.
μόνον πέπασμαι τοῦτο καὶ μικρὸν ῥάκος.
ἄλλων ὁ λῃστής, ἡ τυραννὶς ἐρρέτω.
ὁ φώρ ἐχόντων. εἷς ἐμοὶ πλοῦτος, θεός.
ὃν οὔποτ' οὐδεὶς ἁρπάσει κεκτημένῳ
τά δ' ἄλλ' ἐχόντων. οἷς φίλον, τὴν οὐσίαν
ἁρπαζέτωσαν τὴν ἐμήν, πᾶσαι χέρες
πένητος ἀνδρός, οὐδὲν ἀσφαλέστερον,
*θύει σαγήνην πλούσιος τὴν δεξιάν. *χύει σαγήνην
τὴν αὐτὸς αὑτοῦ, ὡς φίλην ἀσπάζεται.
καὶ τῶν καλῶν δοτῆρα οὐχ ὑμνεῖ θεόν·
ἕως ἃ κέκτητ' εἰς ξένου πέσῃ χέρας
οὗ μὴ θέλει· τί φημι; δυσμενοῦς ἴσως,
κἀκεῖθεν ἄλλου, τὰ τροχῶν κυλίσματα,
ἐμοί δ' ἅπας συνέρχετ' ἣν θάνω βίος
οὐδὲν φθόνῳ τε καὶ στροφαῖς λελείψεται.
πόσον τὸ χεῖρας μὴ βλέπειν εἰς γειτόνων,
ἄλλοις δ' ἐς ἡμῶν εὐσεβεστέροις ἴσως.

πόσον τὸ χεῖρας εἰς θεοῦ μόνον βλέπειν.
τοῦ * δὲ διδόντος καὶ πατρικῶς αἰτουμένου.
αἰσχρὸν δὲ μηδὲν τοῦ λαβεῖν δράσαι χάριν,
τὴν αἱμολάπτιν βδέλλαν ἐκμιμούμενον,
τὰ μὲν κρατοῦντα· τοῖς δ᾽ ἐρείδοντα φρένα,
τὰ δὲ βλέποντα οὐ καλοῖς ἐν ὄμμασι·
τά δ᾽ ἐκτυποῦντα ταῖς ὀνείρων ἐλπίσιν
ἀεὶ πλέον πένητα τοῦ ποθουμένου·
οἴσει δὲ πῶς τίς δυσκόλου καιροῦ φορὰν,
μηδὲν φέρων ἔρεισμα τῆς ἀνδίας;
ἤρου με πῶς τις φεύξετ᾽ εὔστοχον βέλος;
θρὶξ οὐ διαιρεῖτ᾽ εὐπετῶς, οὐδ᾽ ἐγγύθεν
γυμνοῦ στενός μοι· καὶ κακῶν φεύξῃ φοράν.
δόναξ φέρει τὰ πνεύματ᾽ ἀλλ᾽ οὐχὶ δρύες.
ὁ μὲν γὰρ, εἴκει· τάς δ᾽ ἀναστρέπει βάρος.
ἐμοὶ στυφᾶν ἔξεστιν· ἀλλ᾽ ἐμοὶ στυφῆ.
τὸ μὴ στυφᾶν κόρῳ τε καὶ τοῖς ἐντέροις.
οἰδοῦντα καὶ νοσοῦντα πλουσίᾳ νόσῳ,
ὄζοντα τερπνῷ βορβόρῳ λαιμοῦ πέρα,
τὸν νοῦν στενοῦντα τῷ πάχει τῆς ἰλύος.
ἐμοῦ τὰ πέμματ᾽ ἄρτος ἡ καρυκία,
ἐμοὶ τὸ πῶμα τ᾽ ἐξ ἁλῶν ἅπαν γλυκύ.
οἷς τῶν στυφώντων ἁλμυρὸν κἂν ᾖ πίω.
ὀσμὴ μύρων ἔμοιγε τέρψις, ἀσμάτων
χερῶν ποδῶν κροτήματ᾽ εὔρυθμοι κλάσεις,
ὁμορροθούντων ὀργάνων συμφωνία.
αἰνεῖς σὺ ταῦτα; ταῦτα δ᾽ ἐστὶν, οἷς κακός

* καὶ

ἔμοι

εἴμοι γ' ὁ πλοῦτος ὡς κακῶν διδάσκαλος·
κρείσσων μὲν ἡμῖν ὀργάνων ψαλμῳδία·
ψυχὴν συναρμόζουσα τοῖς νοουμένοις.
μύρου δὲ παντὸς χριστὸς εὐωδέστερος
ἡμῖν κενωθεὶς· ὡς λύσῃ δυσωδίας·
ἧς νεκρότης μ' ἔπλησε τῆς ἁμαρτίας.
κροτῶ δὲ χεῖρας, ἣν πέσῃ φονεὺς ἐμὸς,
λόγον τιν' ἢ πρᾶξιν τιν' εἰσηγούμενος
κακήν. ποδῶν ὄρχησις. ἔνθεος στροφή.
τάχ' ἂν τόδ' εἴποις· ὡς πενία καὶ ταῖς νόσοις
ἀρκεῖ· πλέον φέρουσα σωμάτων *ὕκη· * ἄκη
τόδ' οὐκ ἂν εἴποιμ'. οὐκ ἀληθὴς γὰρ ὁ λόγος
ὅδ' ἔστ' ἀληθὲς, τοῦτο καὶ λελέξεται·
πένης, ἐχόντων εὐσθενέστερος πολύ.
θεός δ' ἔδωκεν ἀντανιστῶν τὴν χάριν.
ἰσχὺν πένησιν· εὐπόροις δὲ φάρμακα·
μοχθεῖ πένης ἱδρῶσι· τὰς ὕλας κενοῖ.
πεινῇ· ῥιγοῖ· συγκαίεθ' ἡλίῳ μέσῳ.
ὁδοιπορεῖ· φορτίζεθ'· ὕετ'· στένει·
καιροῦ τροφὴν ἁπλῆν τε καὶ ἀσύνθετον
ἐδέξατ'· οὐδὲν οἶδεν μαγγανευμάτων.
ὧν ὀψοποιοὶ καὶ τρυφῆς ὑπηρέται.
γῆς καὶ θαλάσσης ἐκπορίζουσιν μυχῶν,
θῆλυν τράπεζαν ἐκτιθέντες ἀνδράσι·
φῦσαι· κατάρροι· σπλῆν'· ἐξαρθρημάτων
βοαί· φορήσεις· ὠχρότητες· ἐκλύσεις·
τῶν εὐπορούντων· τῶν κόρων οὗτοι τόκοι.

οἱ μήτ'

οἱ μήτ' ἔχουσιν ὧν ἔχουσιν ἡδονὴν,
ζητοῦσι θ' οἷς λείψουσιν ὄγκον πολλάκις
ζητοῦντες εὐεκτοῦντας ἀσθενεστέρους.
πάντων ἔρημοι, δυστυχεῖς εὐδαίμονες
χρυσός· λίθοι· ποικίλματ' ἐσθῆτος βαφαί.
ζωογράφου τὲ πορφύρα ἀντι χρόου.
τοίχων ὀρόφων καὶ ψηφίδος πεδοτριβοῦς,
ἄργυρος. ὁ μέν τις κρυπτὸς ἐν κόλποις χθονός,
εἰρχθεὶς, ὅθεν προῆλθεν, ἄξιος τάφων
ὅδ' ἐν προθήκῃ καὶ προστασράπτων πότοις.
ἵπποι, τάπητες ἅρμαθ', ἁρματηλέται
κύνες, κυνηγοί, θηρίων ἰχνεύμονες.
καὶ ταῦτα δὴ τὰ τερπνὰ δεσποίνης κακῆς
γαστρὸς, πόρου τε πανδόχου λαιμοῦ χάρις.
στρῶται, θυρωροί· κλήτορες, κοιμήτορες,
ἀνθηφόροι, ῥαντῆρες, ἐκμαγεῖς κύκλων·
γεῦσαι, σκιασταὶ, νυμάτων ἐπίσκοποι.
λοῦσαι, κερασταὶ δακτύλων ὑψώμασι,
κουρὰν γυναῖκες, ὀμμάτων ἡδύσματα
τύμβου τὰ πάντα πλουσίου γραπτῆς χοός·
οὐ δ' ἐνδεὴς ἔστηκεν, ἂν δὲ καὶ πέσῃ
νόσῳ καμὼν μόγις ποτ' ἢ μακρῷ χρόνῳ.
οὐδὲν παρέξει πρᾶγμα τοῖς αὐτοῦ φίλοις
τέθνηξ' ἔθ' ὡς λέων τις ἐν βρυχήμασι
ζαπλούτων νεκρός· ζαπλέτων πλεῖστον εὐανθέστερος·
τί λοιπὸν ὕβρις, θυμὸς, ἔκστασις θράσος.
μέθη, γέλωτες ἀκρατεῖς, αἰσχροὶ λόγοι.

θεοῦ

θεοῦ περιφρόνησις αἵματος φίλων.
ταῦτ᾽ οὐ πενήτων μᾶλλον ἐστ᾽· ἢ πλουσίων
πλοῦτος γὰρ, ὕβριν, ἠδ᾽ ἀπώλειαν φέρει.
ὅδ᾽ ἐκ πιέζεθ᾽ ὡς τὰ πόλλ᾽ οὐδ᾽ αἴρεται·
θεοῦ μάλιστ᾽ ἂν συνδραμὼν φόβος τύχῃ·
καλῶν ἁπάντων παιδαγωγὸς εὐσθενής.
*ἄθρει δ᾽ ἕκαστον ἀνθ᾽ ἑκάστου συντόμως. * ἄθρει δ᾽
ἀμφοῖν δίκαιος τοῖν βίοιν μένων βραβεύς·
εἰ μὴ φέρειν σοι καὶ τό δ᾽ ὕβριν φαίνεται.
ὥσπερ πενήτων ἐστάναι καὶ πλησίον·
ἢ πνεῖν τὸν αὐτὸν ἀέρα· ἢ κλῆσιν μίαν.
καλεῖσθ᾽ ὁμόστεγός τε καὶ σύμπλους δοκεῖν.
φθονεῖς ἀρίστοις, καὶ κακοῖς οἰκτίζομαι.
κακῶν γὰρ οὐδὲν ἐστιν ἀθλιώτερον.
κἂν εὐδρομῶσιν εἰς ἐπισφαλὲς τέλος.
διαπτύεις πένητας ὡς ἄλλου θεοῦ;
ἓν οἶδα πλάσμα, πάντας εἰς μίαν κρίσιν
ἥξοντας. ἄλλη δεύτερα πλάσις βρότος,
χρηστοῖς ἐπαίρῃ; σωφρονίζομαι φόβῳ.
κάμπτῃ *μογηροῖς; ἐλπίσιν κουφίζομαι· * μεγιστοῖς
μένει γὰρ οὐδὲν ἀλλὰ ῥεῖ μακρῷ χρόνῳ.
νὺξ ἡμέραν ἔπαυσε· νύκτα δ᾽ ἡμέρα.
χαρὰν δὲ λύπη. καὶ τὰ τερπνὰ, συμφοράν
ἔστησεν· οὔκουν ὡς παγίοις προσεκτέον·
σοὶ δεινὸν οὐδὲν, σὺ δὲ τὴν ἄγαν κακῶν·
τῷ γὰρ φρονεῖν πῶς τὸ στυφὰν ἐνίσταται.
ἐμοὶ δὲ πένθος καὶ τά μικρὰ φαίνεται.

θεοῦ γὰρ ἀλλοτρίωσις ἡ ἁμαρτία,
πῶς δ' ἂν φέροιμι ζημιούμενος θεόν;
σοὶ χρηστὸς ὕπνος καὶ δὺ ὁ πλευρῶν θέσεις.
ἡδεῖς δ' ὄνειροι τῶν ἐν ἡμέρᾳ τύποι.
πίνεις· κυβεύεις· λαμβάνεις· παίζεις· γελᾷς.
ἐμοί δ' ἄυπνον τοῦ βίου πλεῖστον μέρος,
κεντοῦσι γάρ με καὶ καθεύδοντ' οἱ πόνοι.
ἂν δ' ἁρπάσω τι μικρὸν ὕπνου· δακρύων·
φοβεῖ με καὶ εἴδωλα νυκτὸς ἀγρίας.
κρίσις, δικαστὴς ἄρροπος. ἔνδομος στάσις.
πηγὴ παφλάζουσ' ἔνθεν ἄσβεστου πυρός.
σκώληξ ἐκεῖθεν ἐσθίων ἀϊδίως.
μέσον συνειδὸς· ἄγραφος κατήγορος.
θεὸς θεός σοι, ἣν φέρῃ τὰ δεξιά.
εἰμοὶ σεβαστός. κἂν φέρῃ τἀναντία.
τὸ γάρ με κάμνειν, φάρμακον σωτηρίας.
ὅσον πιέζομ' ἔρχομαι· ὅσῳ πέλας,
θεοῦ τὸ γὰρ πάσχειν μὴ συσφίγγει θεῷ,
καὶ γὰρ στρατὸς διώκων εἰς τείχη φέρει.
παῖδες, γυνὴ σοὶ καὶ φίλοι παρήγοροι,
ἃ καὶ μεθίστατ' ἡ μεγίστη συμφορά·
ἐμοί δ' ἔρεισμα καὶ παραψυχή, θεὸς
πεινῶντι, καὶ ῥιγοῦντι καὶ στενουμένῳ,
ὕβριζε, παῖε δυστυχῆ, πτωχὸν κάλει.
πάτει, βιάζου, μικρὸν ὑβρίσεις χρόνον,
θεῷ φέρω τὰ πάντα πρὸς ὃν καὶ βλέπω.
πέμπω λογισμὸν εἰς βίον τὸν ὕστερον·

ἐκεῖ

ἐκεῖ καθίσαι. οὐδὲν οἶδα τῆς κάτω.
οὕτω τὸ λυποῦν ῥαδίως ἐκλύομαι,
τί τἄλλα; σήμερον δὲ σοὶ μὲν μὴ λαβεῖν
τὴν ψῆφον οὐ φορητὸν ὥς γ' ἐμοὶ δοκεῖ,
οὐ γὰρ φέρεις κρατούμενον τὸ κρατοῦν ἀεί.
ἴσον δ' ἐμοὶ λαβεῖν τε καὶ τὸ μὴ λαβεῖν.
ἀρκεῖ θεός μοι κἂν τὰ πάντ' ἄλλος φέρῃ,
τοῦτ' εὐκλεὲς μέγιστον εἰς νίκην ἐμοί.
τί οὖν ἐὰν πέσωσι τῆς ἄκρον τινές;
τί οὖν ἐὰν πέσωσι καὶ τῆς δευτέρον;
καὶ γὰρ κατορθοῦν ἐστὶν ἀμφοῖν, καὶ πεσεῖν
ἴσον πρὸς ἴσον, ἀλλ' ἐγὼ χεῖρας καὶ πολύ
τίθημι τοὺς πίπτοντας ἐν πρώτῳ βίῳ·
τοσοῦτόν εἰμι τοῖς κακοῖς ἐναντίως.
ὧν γὰρ κρατούντων τιμιώτερον κράτος,
τούτων πεσόντων πτῶσις ἀθλιωτέρα.
ἐκεῖνο δ' αἰτῶ μὴ λογίζεσθαι βίῳ·
εἴ τις κάκιστος τῷ βίῳ γὰρ δυσμενής.
σκοπεῖν δ' ἐφ' αὐτοῦ καὶ δοκιμάζειν τὸν τρόπον
καλῶν θ' ὁμοίως καὶ κακῶν κατ' ἀντίον.
καὶ μὴ τὸ μεῖον ἐν ζυγῷ καταῤῥέπειν.
οὐ γὰρ δίκαιον, ἰσχύειν καὶ τὸ πλέον.
γνοίης δ' ἂν οὕτω τοῖν βίοιν ὅσον μέσον,
μή μοι τὸν ἄκρον τῆς ὄνων ἵππων κακῶν
ἀντεξετάζειν. μηδὲ κοσμικοῦ βίου,
ἄριστον ἄνδρα, τῷ κακίστῳ τῶν ἐμῶν.
κρείττοις γὰρ ἂν φανεῖεν οὐκ ἀρνήσομαι.

εἰδ᾽ ἄκρον ἄκρῳ· καὶ κακὸν θείης κακῷ·
ἐναντίοις μάθοις ἂν ὁπόσον κρατῶ.
σκόπει κἀκεῖνο, ἴσον ἐν παντὶ χρόνῳ,
τὸ πταῖσαν ἡμῖν, καὶ παρ᾽ ὑμῖν τὸ κρατοῦν,
μίαν δέ φασιν οὐ φέρειν χελιδόνα
ἔαρ τὸ καλὸν, οὐδὲ τὸ γῆρας θρίξ.
τί φῄς; δίδως τὴν ψῆφον, ἢ χαίρειν ἐῶ.
δίδωμι, πῶς δ᾽ οὔ· τηνικαῦτ᾽ οἴησομαι
χρῆναι προτιμᾶν τὸν κάτω τοῦ σοῦ βίου·
ὅταν θεοῦ βροτῶν τιν᾽ ἰσώσω μανείς.
εἰδ᾽ οὐ μανήσομ᾽, οὐδὲ τούτῳ πείσομαι.
ἀλλ᾽ ἄπιτε. λῷον δ᾽ ἦν ἔχητ᾽ εἰρηνικῶς,
ἄμφω πρὸς ἀλλήλοις τε καὶ θεὸν μέγαν.
σὺ μὲν νέμων τὰ πρῶτα τοῦ πρώτῳ βίῳ.
σύ δ᾽ ὡς ἀδελφὸν δεύτερον προσλαμβάνων
εἴτοι τὸ πρῶτον οὐκ ἔχει, τί κωλύει
ἔχειν τὰ δεύτερ᾽ οὐδὲ τὴν τ᾽ ἀτιμίαν,
οὕτως ἂν ἡμῖν ἀσφαλὴς εἴη βίος.

ΠΕΡΙ ΑΡΕΤΗΣ, ΤΟΥ αὐτοῦ θεολόγου.

ΘΕΟΣ τὸ πάντων αἴτιον πρῶτον καλὸν
οὗ καὶ φύσις γε τοῖς φρονοῦσι πρόξενος,
τάξις θ᾽ ὁρωμένων τε καὶ νοουμένων.

τούς

τούς δ᾽ ἢ τελείως ἐκβαλόντας τοῦ λόγου
τὸ θεῖον, ἢ πρόνοιαν ἐξῃρηκότας
ἢ μέτρα θέντας, μή κἀμοὶ σώζειν θεός.
ὧν οἱ μὲν ὄψει χρώμενοι διδασκάλων·
ἄστροις ἔδωκαν τοῖς ὁμοδούλοις τὸ κράτος,
οἷς πάντ᾽ ἄγουσιν ἡρμένοι λίαν κακῶς,
ἄλλοι δὲ προσεκύνησαν αἴχη κύριον δείλων
πλέον πεσόντες. οἱ δὲ δαιμόνων σκιάς·
μύθοις τ᾽ ἀνεῦρον τῶν παθῶν συνηγόρους,
στήλας τ᾽ ἔθεντο τῆς ἀνοίας ἀξίας
ἵδρυμα θ᾽ ὕλης καὶ χερὸς ποιήματα·
τίς οὖν τοσοῦτον ἄσοφος· ὡς τούτους σοφοὺς
θέσθαι· ὅμως ἔστωσαν εἰ δοκεῖ σοφοί·
τούτοις ἂν εὕροις, τοῖς μὲν ἄλλοις δόγμασιν,
ἀσυνθέτοις τε καὶ διεστῶτας πολὺ
τοῖς περὶ νοητῶν καὶ ὁρωμένων λόγοις,
θεοῦ προνοίας ἰδεῶν χ᾽ εἱμαρμένης·
ὕλης ἀπείρου συνθέσεως τε σωμάτων·
ψυχῆς νόος τε καὶ πλάνης αἰσθήσεων.
ἐξ ὧν στοαί τε καὶ προσώπων ὀφρύες,
ἀκαδημίαι τε καὶ πλοκαὶ πυῤῥωνίων,
σκέψεις, ἐφέξεις τεχνικῶν ληρημάτων,
ἀσυνθέτοις μὲν ταῦτα, πάντας δ᾽ ἐξ ἴσου
ἐπαινέτας δὲ τοῦ καλοῦ καὶ σύμφρονας
οὐδὲν τιθέντας τῆς ἀρετῆς ἀνώτερον·
κἂν μυρίοις ἱδρῶτι καὶ πολλοῖς πόνοις
χρόνῳ τε μακρῷ τυγχάνη κεκτημένη,

μεμνήσομαι δὲ δείγματός τινων χάριν
ὡς ἂν μάθῃς κἀνταῦθα τὴν ἀρετὴν, ὅση
ῥόδ᾽ ἐξ ἀκανθῶν ὡς λέγουσι συλλέγων
ἐκ τῶν ἀπίστων μανθάνων τὰ κρείσονα.
τίς οὐκ ἀκούει τὸν σινωπέα τὸν κύνα;
οὗτος. τί τἄλλα χρὴ λέγειν; ἀλλ᾽ εὐτελὴς
οὕτως τὶς ἦν καὶ μέτριος τὰ τοῦ βίου,
καὶ ταῦθ᾽ ἑαυτῷ νομοθετῶν οὐκ ἐκ θεοῦ
νόμον φυλάττων· οὐδ᾽ ἐπ᾽ ἐλπίσι τισὶν,
ὥς τ᾽ εἶχεν, ἓν μὲν κτῆμα, τὴν βακτηρίαν·
οἶκον δ᾽ ὕπαιθρον ἐν μέσῳ τοῦ ἄστεος,
στεπτὸν πίθον φεύγοντα πνευμάτων βίας.
ὃς ἦν ἐκείνῳ δωμάτων χρυσωρόφων
κρείσσων· σοφή τε χέδιος οὐ πονουμένη.
κράτης δ᾽ ὁμοίως χρημάτων ὑπερτιθεὶς
αὐτόν· μεθείς τε μηλόβοτον τὴν οὐσίαν·
ὡς ἂν κακίας ὑπηρέτιν καὶ σωμάτων·
ἀρθεὶς ὑπὲρ βωμοῦ μεγάλῳ κηρύγματι,
ἀνεῖπεν αὐτὸν ὡς ἐν ὀλυμπίᾳ μέσῃ
τὸ θαυμάσιον δὴ τοῦτον βοώμενον.
ἐλευθεροῖ κράτητα θηβαῖον κράτης,
δουλείαν εἰδὼς τὸ κρατεῖσθαι χρημάτων
φασὶν τὸν αὐτὸν ὥς τινες δ᾽ ἄλλον τινὰ
τῶν φιλοσοφούντων ἐξ ἴσου φρονήματος
πλέοντα τοῦ κλύδωνος ἀγειρομένου.
ἔπειτα φόρτῳ τῆς νεὼς βαρουμένης
ῥίπτειν προθύμως εἰς βυθὸν τὰ χρήματα

τοῦτον

τοῦτον δ' ἐπειπεῖν ἄξιον μνήμης λόγον.
εὖ γ' ὦ τύχη μοι τῶν καλῶν διδάσκαλε
ὡς εἰς τρίβωνα ῥαδίως συστέλλομαι·
ἄλλος παρῆκεν οὐσίαν τοῖς ἐκ γένους,
ἄλλος δ' ὑπερβὰς ταῦτα ὡς ἀνθρώπιν'
ἅπανθ' ὃς εἶχεν εἰς μίαν βῶλον τινὰ
χρυσῆν συνελὼν, ἔπειτ' ἀναχθεὶς εἰ συνήθως
βυθῷ δίδωσι τὴν ἀλαζόνα πλάνην,
μηδὲν γὰρ ἄλλων προξενεῖν τό μη *
καὶ τοῦ τ' ἐπαινοῦ, τῶν τις ἀυ χαίων κυνῶν,
βασιλεῖ προσελθὼν ἠξίου τροφῆς τυχεῖν·
εἴτ' οὖν δεόμενος, εἴτε καὶ πειρώμενος
τοῦ δ' εἴτε τιμῆς εἴτε καὶ πείρᾳ τινὶ
πλὴν χρυσίου τάλαντον ἐκ προστάγματος
διδόντος προθύμως, οὐ μὲν ἀρνεῖται λαβεῖν,
λαβὼν δ' ἐν ὄψει τοῦ δεδωκότος αὐτίκα
ἄρτον πριάμενος τοῦ ταλάντου· τόν δ' ἔφη
λαβεῖν ἔχρηζον οὐ τὸν ἄβροτον τύφον·
ταῦτ' οὖν μὲν ἴσα τοῖς ἐμοῖς νόμοις σχεδὸν
οἵ με πτεροῦσιν εἰς βίον τε καὶ φύσιν
πτηνῶν ἐφημερίῳ τε καὶ ἀπόρῳ τροφῇ
κρίνων τε κάλλη εὖ μάλ' ἠφιεσμένων,
ὑφαῖς ἀτέχνοις ἐγγυῶνταί μοι σκέπην·
εἰ πρὸς μόνον βλέποιμι τὸν μέγαν θεόν.
ἀλλ' εἴτι χρή με καὶ ζέσαι τὰ τῶν βίων,
ὡς ἂν δοκοίην μὴ μάτην ταῦθ' ἱστορεῖν,
οἱ μὲν τιμῶντες χρημάτων ἀκτησίαν

βίον τ' ἐλεύρόν τε καὶ δεσμῶν ἄνω.
πρῶτον μὲν οὐ καλῶς τὸ καλὸν μετήεσαν,
πλεῖον γὰρ ἦν ἔνδειξις ἢ καλοῦ πόθος,
ἢ τί ποτ' ἔδει βωμῶν τε καὶ κηρυγμάτων.
ἔπειτα γαστρὸς ἡδοναῖς ἐφίεσαν
ὥς ἄν τινες φεύγοντες οὐ πλούτου κόρον
τὰς φροντίδας τὲ καὶ πόνους τῆς κτίσεως,
τρυφῆς δ' ἀφορμὴν τὸ ἀπορεῖν ποιούμενοι,
δηλοῦσι, σησαμοῦσιν ἄρτοι κρίθινοι
ὑπεξιόντες καὶ τραγωδίας ἔπη.
ὧν ἔν τι καὶ τόδ' εὐστόχως εἰρημένον.
* μεθίστασι ὦ ξένε τυράννοις ἐκ ποδῶν * μεθίστας
στέρφις τὲ φεύγουσ' ἐκ μέσων ἡδυσμάτων
ὄψον πενήτων· ἄφθονός τε γῆς χάρις
ἡμῖν δ' ἂν ἐπίδειξιν μὲν εἴπε τῶν καλῶν
οἷς πρῶτόν ἐστι· μὴ δὲ τὴν εὐώνυμον
τὰ δεξιᾶς κινήματ' εἰδέναι σαφῶς·
ἥδ' ἐγκράτεια μαρτυρεῖ τὸ ἔνθεον
καλὸν κλεάνθους τὸ φρέαρ· καὶ σωκράτους
τὸ ζῆν πενιχρῶς, τἄλλα δ' ὡς ἀσχήμονα
οἱ χαρμίδαι τέ· καὶ σκέπλαι τριωνίων
ὑφ' ἧς τὰ θεῖα τοῖς νέοις ὁ γυμνάδας
σιωπῆν, μόνοι γὰρ οἱ καλοὶ νοήμονες·
μηδεὶς ἔρωτι σωμάτων θηρευέτω
τὸ καλὸν, ὡς ὅλοιτο τοῖα σκέμματα·
χωρὶς τὰ μήδων καὶ λυδῶν ὁρίσματα·
ἀλκμαίονος δὲ τὶς τόδ' αἰνέσει ποτέ.

ὃς

ὃς πρῶτ' ἀθηναίων τῶν ἀοιδίμων φέρων.
ἀνὴρ γένει τε καὶ κράτει πλέων μέγα.
Τοσοῦτον ὤφθη χρημάτων ἡττώμενος,
ὅσον περ εἰκὸς ἦν φανῆναι κρείττονα,
κροίσου γὰρ αὐτὸν πλείοσι δεξιουμένου
ὧν ἓν, ταμεῖα χρυσοῦ πάντα προθεὶς,
ὡς ἂν δυνάσης τῇ τύχῃ μέγα φρονῶν,
ἔχειν ἐκέλευσεν ὅσον δύναιτο τῶν ψηγμάτων·
πλήσας δὲ κόλποις καὶ γνάθοις, καὶ τὴν κόμην
θεὶς χρυσόπαστον, τὴν ἀμεξίας, ὅση
προῆλθε λυδοῖς πλούσιος γελώμενος·
τί δ' ὁ πλάτων σοι καί περ ὢν σοφώτατος
ἀνδρῶν; τί δ' ἀρίστιππος; τὸν ἥδιστον λέγω.
τί δ' ὁ χαρίεις σπεύσιππος ὥς περ οἴομαι,
ὁ μὲν καπήλου δυστυχοῦς ἔζη βίον,
πόνοις διαντλῶν κέρδεσιν θαλαττίοις,
ἔλαιον ἦν ὁ φόρτος· οὔπω τοῦτ' ἴσως
ἐρεῖς ἄπληστον, καὶ πενία, τί προσνέμεις·
τὸ δὲ τραπέζας προσκυνεῖν τυραννικάς·
πλάτωνα, φεῦ λέγων τε καὶ σεμνῶν πόνων
ἐῶ λέγειν πρᾶσιν τε καὶ οὐχὶ πρᾶσιν,
εἰ μὴ λίβυς τις τῆς πλάτωνος ἑλλάδος
ὤφθη γ' ἀμείνων· καὶ μικροῦ τιμήματος
δόξαν τε καὶ πλάτωνος ὠνεῖται λόγοις,
τοῦ δ' ἐκκερήνης, μέγα μὲν ἡ παῤῥησία·
ὅμως δ' ἔμιξε τῷ ἐλευθέρῳ τρυφήν·
βλάπτων τὸ καλὸν ἁλμυρᾷ τῷ δόγματι.

μύρον γὰρ ὄζων, συμποτῶν κατέπνεε
τό δ' εὐχάριστον τοῦ τρόπου καὶ στωμύλον
ὅδηγ ὃν εἶχε λημμάτων, οὕτω ποτέ
στολὴν γυναικῶν ἀρχελάου τοῦ σοφοῦ,
οὐκ οἶδ' ὅπως τὲ καὶ δι' ἣν τὴν αἰτίαν
δωρουμένου, πλάτων μὲν οὐ προσήκατο
ἴαμβον εἰπὼν κάλλιον ἐξ εὐριπίδου
οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.
ὅδ' ὡς τὸ δώρημ' ἦλθεν εἰς αὐτοῦ χέρας
φέροντος ἀνδρὸς καὶ προθύμως λαμβάνει
καὶ τὴν ἰάμβοον κομψότης τ' ἰαμβίω
βάλλει τό δ' εἰπών· καὶ γὰρ ἐν βακχεύμασιν.
οὖς ἦγε σώφρον οὐ διαφθαρήσεται.
ὁδ' αὐτὸς ἀρχέλαος ὡς φασὶν ποτέ,
λαβεῖν θελήσαντος τὶ τοῦτο σοφοκλέοις,
εὐριπίδῃ δίδωσι τῷ σοφωτάτῳ·
τοσαῦτ' ἐπειπὼν σὺ μὲν ἄξιος δοκεῖς
ζητεῖν ἔμοιγε· λαμβάνειν δ' εὐριπίδης
δεικνὺς ὅπως ἄριστον εὐγλυὴς τρόπος,
τάξας δὲ τοῖς ἕλλησι τοὺς φόρους ποτὲ
ὁ λυσιμάχου. καὶ τᾶλλα τῶν πρώτων φανεὶς
ἐν δημαγωγίαις τὲ καὶ στρατηγίαις
τοσοῦτον ἄφθη χρημάτων ἀνώτερος,
ὡς θ' ὅτι μὲν ἔχε τοὔνομ' ἐκ τῆς πράξεως,
δίκαιος ὢν τὲ καὶ καλούμενος εἰς ἔτι
ἑκών παρήστω, τὰς δὲ παῖδας ἡ πόλις
ἐκδοῦσα τιμᾷ χρήμασι πενία καλὴν

αὐτόν τ᾽ ἔθαψαν, οὐκ ἔχοντ᾽ ὅθεν ταφῆ.
οὐκ ἂν παρέλθοιμ᾽ οὐδὲ τὰ ῥωμαίων καλὰ
ὡς μὴ παλαιοῖς ἰσχυρίζοίμην μόνοις,
πύῤῥου κρατήσας ἐν μάχῃ φαβωρῖνος
ἦν δὲ στρατηγὸς τῶν περιβλέπτων ἄγαν,
καὶ τοῖς δ᾽ ἐνίκα μᾶλλον, ὡς γὰρ εἰς στενὸν
ὁ πύῤῥος ἦλθεν, ἐλπίδων ἐπαράθη
χρυσοῦ ταλάντοις τὸν στρατηγὸν ἁρπάσαι·
ὁ δ᾽ οὐκ ἐδέξατ᾽, ἀλλ᾽ ὅμως ἐπείσατο,
ἐπείδ᾽ ὁ πύῤῥος ὡς λέγουσ᾽ εἰρωνικά
παίζων πρὸς αὐτὸν, τῶν ἐνόπλων θηρίων
ἕνα τῶν ἐλεφάντων ὑπερφυᾶ τὲ καὶ μέγαν,
οὔπω κατ᾽ ὄψιν οἱ τέως ἀγνωσμένον
ἔδειξε, ῥινὸς ὑπερφανείσης ἀθρόως.
οὔτ᾽ ἐπτοήθη· καὶ τόδ᾽ εἶπεν. ἵλεως
οὔ μ᾽ οὔτε χρυσὸς εἷλεν οὔτε θηρίον
ἀρκεῖ τοσαῦτα· καὶ τά δὲ πέρας πέρα.
ὧν ἄν τις εἴποι χρημάτων καταφρονῶν·
μήτ᾽ οὖν ἐκεῖνα προσδέχου τὰ μὴ καλὰ
βίβλων παλαιῶν ὧν γαθ᾽ αἷς ἐνετράφης
ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν·
κρεῖσσον γὰρ ἢ σέβοντα τοὺς θεῶν νόμους
πένητα ναίειν, δόξαν ἠμπολικότα·
μή μοι γένος γένιζε, μᾶζα μοι γένος·
τὰ χρήματ᾽ ἀνθρώποισι τιμιώτατα·
πένητος ἀνδρὸς οὐδὲν ἀθλιώτερον.
ἀνδρὸς δὲ χαλκοῦ φοῖβος οὐ μαντεύεται.

οὐκ ἔστιν ὅς τις πάντ' ἀνὴρ εὐδαιμονεῖ,
ἢ γὰρ πεφυκὼς ἐσθλὸς, οὐκ ἔχει βίον
ἢ δυσγενὴς ὢν, πλουσίαν ἀροῖ πλάκα.
πῶς γὰρ καλεῖς δυσδαίμονα, τὸν πένητα μέν;
πολλῶν δ' ἔχοντα πλουσιώτερον τρόπον.
δύσδαιμον ὄντως τὸ φρονεῖν οὕτω κακῶς.
ταῦτ' οὖν ἅπαντα φεῦγε τοὺς τ' εἰρηκότας,
εἴτ' ἄλλο τούτοις ἐμφερές τι ἐν λόγοις,
καὶ ταῦτ' ἐπαίνει τῶν σοφῶς εἰρημένων.
ὅτ' ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζε ἀῤῥαβῶν' ἔχειν.
μὴ πάντοθεν κέρδαινε σαυτὸν αἰσχύνου,
τὸ μὴ δικαίως εὐτυχεῖν, ἔχει φόβον,
μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν.
ὃν καὶ κάκιστος ῥαδίως ἐκτήσατο,
πένης μέν ἐστι. τὸν τρόπον δὲ, πλούσιος.
σοφὸν πένητα μᾶλλον, ἢ μίδαν κακόν.
ληρεῖ δέ μοι θέογνις ὡς λῆρον πλατὺν,
κρημνοὺς προτιμῶν τῆς ἀπορίας καὶ βυθοὺς,
κακῶς τε κύρνῳ νομοθετῶν εἰς χρήματα·
ὅμηρε καὶ σὺ πῶς τοῦτον ἀστάτῳ
πράγματι νέμεις· ὥς τε φράσαι ποῦ τῶν ἐπῶν,
ὀπηδὸν εἶναι τὴν ἀρετὴν τῶν χρημάτων
φησίν· τὸ δ' εἶπον αὐτὸς οὐχ οὕτως ἔχον,
γνοὺς δὲ τοὺς ἔχοντας οὕτως ἀθλίως·
οὐ γὰρ δοκεῖ σοι τὴν θάλασσαν ἐκφυγὼν
ὀδυσσεὺς ἐκεῖνος οὗ τὰ πόλλ' ἀθλήματα

ὀφθεὶς ἀλήτης τῇ βασιλίδι γυμνὸς,
καταιδέσας δὲ τῷ λόγῳ τὴν παρθένον,
φαίαξιν αὐτοῖς ἄξιος πλείστου φανεὶς,
ἔστι προδήλως τῆς ἀρετῆς ἐγκώμιον·
τὸν μῦθον αἰνῶ τὸν φρύγιον· ὡς εὖ ἔχει·
μίδᾳ γὰρ αἰτήσαντι πάντα χρυσίου
πλήρη γενέσθαι, τῆς ἀμετρίας δίκην,
θεὸς δίδωσιν ὧν περ ἠξίου τυχεῖν,
ὁ χρυσὸς ἦν ἄβρωτος· ὃς δ' εἶχεν, νέκυς,
τί μοι ξένων μύθων τε καὶ διδαγμάτων
αὐτοὺς σκόπει μοι τοὺς ἐμοὺς ἤδη νόμους·
ἐμοὶ γένος μέν ἐστι τὸ πρῶτον καλὸν,
οὗ περ προῆλθον· καὶ πρὸς ὃ πέραν βίον
δεσμῶν ἐμαυτὸν ἐκλύειν πεφρωμένος,
ἡ δ' ἐκμελῶν τε καὶ φθορᾶς ὡρμωμένη
νεκρῶν τε λαμπρῶν καὶ πάλαι σεσηπότων,
ἣν δὴ καλοῦσιν εὐγένειαν οἱ κάτω,
κόπρου ῥεούσης οὐδὲν εὐγενεστέρα.
πατρὶς δὲ σωμάτων μὲν οὐκ ἐλευθέρα.
φόρον τε δούλη καὶ κακῶς τετμημένη
κόλποις θαλάσσης καὶ νάπαις περίγραφος
πολλοὺς ἀμείβουσ' ἀθλίους οἰκήτορας·
αὐτή γε μήτηρ καὶ τάφος γεννημάτων·
κόπτουσα τοὺς κόπτοντας ὦ δίκη δίκη·
τῆς πρωτοπλάστου γεύσεως τε καὶ πλάνης,
ἡ δ' ἀντὶ ταύτης τοῖς σοφοῖς ζητουμένη
πρὸς ἣν βλέποντες ἐνθάδ' οὐ ῥεξόμεθα,

ὥς περ

ὥσπερ πόα τις ἐφ' ὑδάτων ὀχουμένη,
πλατεῖα, τέρμων εὐγλυφῶν σκηνωμάτων
κρατουμένη τε τοῖς κατοίκοις εἰς ἀεί,
ζώντων τε μήτηρ καὶ μόνων ἀλλοξία
χωρὸς τὰ πάντα χριστὸν ὑμνούντων μέγαν,
πανήγυρίς τε πρωτοτόκων γεγραμμένων,
ἐν οὐρανοῖς βίβλοις τε ταῖς αἰωνίοις
δόξαντ' ἐπαινῶ τὴν ἄνω μοι κειμένην,
στάθμην δικαίαν· καλὸν ἀψευδέστατον.
ἡ δ' ἐνθάδ', αὖρα καὶ κενῶν κενὴ χάρις,
ἡ μὲν δικαία προστίθησιν οὐδὲ ἕν.
ἡ δ' οὐκ ἀληθὴς, εἰς βλάβην καθίσταται.
τὸ γὰρ δοκεῖν, ὑφεῖλε τοῦ εἶναι, πολύ.
πλοῦτος δ' ὁ μὲν ῥέων τε καὶ μέθης πλέως.
ὄψιν τε πηρὸς καὶ περιπλανώμενος
φυσῶν τε πολλοὺς καὶ κενῶς ἀτλῶν τύχην.
γαστρός τις ὄγκος ὑδέρου πεπλησμένος,
ἄλλοις προσέρποι φάρμακον νόσου γέμον.
ἐμοὶ δὲ πλοῦτος ἄφθονός τε καὶ μένων.
ἑστὼς ἄσειστος, χρημάτων ἀνώτερος
μηδὲν πεπᾶσθαι πλὴν θεοῦ καὶ τῶν ἄνω.
ἅπαντα μὲν γὰρ οὐκ ἂν εἰ βούλοιτό τις
κτήσαιτο, οὔτ' ἐκτήσατ' οὔκουν ἄχει νῦν.
πάντων δ' ἔνδειν ἀθρόως καταφρονεῖν.
κρείττω τε πάντων τοῦτον εἶναι τὸν τρόπον.
ἄλλοι φάλαγγας ταττέτωσαν ὁπλιτῶν.
πλεῖον τε πασχέτωσαν ὧν δρᾶσιν κακῶν

βάλλοντες οἰμώζοντες ἀστάτοις ῥοπαῖς
ἀγχωμαλοῦντες, αἱμάτων ὠνούμενοι
πλούτου τιν' ὄγκον ἢ τυραννίδος κράτος,
ἄλλοι δὲ γῆς τε καὶ θαλάττης ἀγρίας
κόλποις μερίζοντες ἔμποροι δυσδαίμονες,
ἄλλοι δίκας τε καὶ νόμους ἀντιστρόφους,
ἀπουδῆ πλεκόντων λημμάτων μικρῶν χάριν.
ἐμοὶ δὲ πάντων χριστὸς ἐστὶν ὤνιος,
σταυρὸν τε τὸν πένητα πλουσίως φέρω·
ῥίψας τὰ σπῆλ καὶ στροφὴν πεττευμάτων.
τούτου νόμος μὲν πρῶτος, ἡ πρώτη τροφή.
ἐδὲμ δὲ καὶ παράδεισος εὐθαλὴς φυτοῖς
πηγήτ' ἐς ἀρχὰς τέτταρας τετμημένη,
οὐ χρυσός· οὐκ ἤλεκτρος, οὐδὲ ἄργυρος,
οὐκ εὐχρόων τε καὶ φανῶν λίθων χάρις,
ἃ γῆ δίδωσι τοῖς κάτω νενευκόσι,
μόνοις δὲ καρποῖς ἀφθόνως ἐξέτρεφε
τὸν ἐργάτην θεοῦ τε καὶ θείας τροφῆς.
κάνταῦθ' ὅρους τίς ἡδονῆς μετρουμένης.
ξύλου γὰρ εἴργει γνώσεως ἐναντίων
ὃς οὐ φυλαχθείς, παντὸς ἐστέρησέ με
καὶ γῆς πόνοις ἔδωκε μητρὸς τῆς ἐμῆς.
ὧν εἷς, τὸ πλεῖον τῶν ἀναγκαίων ἔχειν,
μηδέν τε μέτρον εἰδέναι τῆς κτήσεως
κακοῦ τὸ χεῖρον φάρμακον ποιουμένοις
διψῶντας εἶναι τοῖς ποτοῖς καυσουμένοις.
ἐξ οὗ, τί γίνεθ' ὡς παράδοξον σκόπει.

ἀεὶ

ἀεὶ πένεσθαι τῷ λιπόντι κτωμένους,
τέρψιν δὲ τοῦ κτηθέντος, οὐ δύναιθ' ἔχειν
τῷ μὴ παρόντι, καὶ γὰρ ἐκτήκει φρένας·
πρῶτος μὲν οὗτος εὐτελοῦς ζωῆς νόμος,
ἔστιν δ' ἐκεῖνος δεύτερος. τὸν ἀβραὰμ
τὸν πατριάρχην, τὸν θεόπτην τὸν μέγαν
οἴκου, γένους τὲ πατρίδος ἐξελκύσας
ὁ τῶν μεγίστων οἰκονόμος μυστηρίων,
εἰς γῆν μετήγαγ' εὐκόλως ἀλλοτρίαν
ξένον πάροικον, ἄστεγον, πλανώμενον·
πίστις γὰρ εἷλκεν ἐλπίδων τῶν μειζόνων.
ἄρτων δ' ἰακὼβ καὶ σκέπην ᾔτει μόνον,
ὁρμῶν ποταμῶν ποτ' εἰς μέσην ὥσπερ λόγος,
εἰ καὶ πολυθρέμμων ἐπάνεισιν ὕστερον·
μισθὸν δίκαιον εὑρόμενος τῶν πόνων.
καὶ τοῦτο δ' εἰπεῖν εὖ ἔχει πρὸς οἷς ἔφην·
μωσῆς ὅτ' εἴσω τοῦ γνόφου μόνος μόνῳ
θεῷ προσωμίλησε καὶ πλαξὶν νόμον
διπλοῦν ἐδέξαθ' ᾧ λεὼν ἦγε μέγαν·
τότ' οὖν μερίζων ἣν κατέσχον ἐκ θεοῦ,
ἄλλοις μὲν ἄλλην γῆν ἐμέτρησε ξένην·
υἱοῖς δὲ λευὶ κλῆρον οὐ νέμει μόνοις.
κλῆρος γὰρ αὐτοῖς, ὁ κράτιστος ἦν θεός·
ἰωναδὰμ δὲ παισὶν εἰσάγων ποτὲ,
ἀκτησίαν καὶ τὸν ὑψηλὸν βίον. *
ᾔδει γὰρ ᾔδει φιλοσοφεῖν· καί περ τό τε
οὐδὲ πενίας πω κειμένης ἐν θαύματι·

τά

τά δ' εἶπε πατρὸς λίαν ὡς χρηστοῦ λόγου·
ὦ παῖδες. οἷον ὑμῖν ὡς ἄγαν πολὺν
κλῆρον πορίζω, οἷον οὔπω τις πατὴρ
παισὶν δέδωκεν· οὐδ' ὃς εὐπορώτατος·
φεύγοιτε πάντα κλῆρον, εὔλυτον βίον,
ἔχοιτε· δεσμῷ μηδενὶ κρατούμενοι·
σκηνὰς μὲν οἰκεῖτ' οἰκίας κινουμένας·
τέμνοι δὲ γῆν ἄλλος τις· ἄμπελος δέ γε
τούτῳ φυτεύοιθ' ὅν τιν' οἶνος εὐφρανεῖ.
ὑμῖν δ' ἄοινος ἐγκρατὴς ἔστω βίος·
ὧδ' ἂν βιοῦντες, ἀσφαλῶς ζώοιτέ μοι·
ταῦτα μὲν οὖν, τοιοῦτος. ἠλίαν δὲ ποῦ
θήσομεν, ὃν κάρμηλος ἔτρεφεν μέγας·
κόραξι χειμάῤῥω τε γῆς ἐκ διψάδος·
ὃς ὢν πένης τε καὶ πενήτων ἔσχατος·
ἴση τυράννοις ὑετοὺς ῥεῖθρον βάθη·
πῦρ εἷλκεν ἐχθροῖς καὶ θυσίαις ἐξ οὐρανοῦ.
χήραις ἐπήγαζε ῥανίδας στενῆς τροφῆς
τρέφων τρεφούσας πλουσίως ὁ ἐνδεής·
νεκροὺς δ' ἀνέστη μισθὸν εὐσεβοῦς σκέπης
πυρός τ' ἀνήγεθ' ἅρματι πρὸς οὐρανὸν,
ἐλισσαίου τε κλῆρος· ὃς παρ' ἡλίου,
χάρις τε καὶ τὸ κλεινὸν ἐξ ὕψους δέρος
ὁ δὲ πρὸ γαστρὸς ἱερός· ὢ τοῦ θαύματος·
πάντως ἀκούεις τὸν σαμουὴλ τὸν μέγαν·
ὃν μητρὸς εὐχὴ τῷ θεῷ προσήγαγεν·
εἰ μὴ λίαν τολμηρὸν εἰπεῖν τοῦτό γε.

οὐδ'.

οὐδ᾽ αὐτὸν εἶχεν ἐκ βρέφους θεῷ δοθείς,
τὶς ἦν παλαιᾶς καὶ νέας μεταίχμιον
θεοῦ διαθηκῶν ὡς σκιᾶς καὶ σώματος,
τὴν μὲν κατείργων, τῆς δ᾽ ἀνοίγων εἰσόδους
τίς φωτὸς ἄκρου προτρέχων λύχνος μέγας;
τίς ἐν γεννητοῖς πρῶτος; ὦ μάρτυς, θεός.
ἔρημον ᾤκει· καὶ ξένην εἶχε τροφήν·
καμήλιον δ᾽ εὔθημα δέρματος στροφῇ
ἐσφίγγετ᾽· ἔγραψε τὸν ἰωάννην λόγος.
ὃς οὐ δὲ διπλοῦν εἶα κεκτῆσθαι ῥάκος·
τί δ᾽ ἄν τις εἴποι πρὸς τὸν ἐκ τέχνης τροφὴν
παῦλον πορίζοντ᾽· ἢ τον ἐκ θέρμων μόνων
τρυφῶντα πέτρον, τοὺς μεγάλους ἀποστόλους.
οἱ πάντα κόσμον δικτύων εἴσω θεοῦ
ἔθηκαν· ὧν αἱ χεῖρες ἔρρεον πολὺν
πλοῦτον πένησι πλουσίως δωρουμένων
ἄλλοι παρῆκαν συγγενέσιν ἀλειάδας
καλούμενοι θεῷ πρὸς ἀλείαν κρείττονα.
λόγοις γὰρ ἦσαν τοῖς ἀρίστοις ἡγμένοι
χριστοῦ, ὃς ἐπτώχευσε καὶ σαρκὸς πάχος
νοῦς ὢν μέγιστος καὶ νοὸς πρώτη φύσις
πτωχοὺς δὲ τάξας τοῦ λόγου διαγγέλους,
συνέμπορον δίδωσι τὴν πίστιν μόνην
γυμνοῖς ἀχάλκοις πῆραν οὐκ ἐζημιμένοις
ἀσανδάλοις τε καὶ ἀπόροις, μυστήριον
ὅλης ἐπιστρέψας τῆς νέας οἰκουμένης.
καὶ μὴ δὲ ῥάβδον ἐν χεροῖν ἐῶν ἔχειν

ὡς πίστις εἴη τοῦ λόγου τὸ εὐσθενές·
ἔργῳ τὸ μεῖζον· οὐδὲ τῷ νέῳ μαθεῖν
χρήζοντι, πῶς ἂν τοῦ τελείου κατατύχοι.
ἄλλῳ τὸ ἄκρον. ἣ μόνῳ περιγράφει
τῷ δεῖν ἅπαντα τοῖς πένησι σκοπίσαι·
σταυρὸν ἐπ' ὤμων τὸν μέγαν φέρειν ἀεί,
αὐτὸν θ' ἕπεσθαι τοῖς κάτω νεκρούμενον,
εἴπερ ποθοίη καὶ συνυψοῦσθαι θεῷ.
οὕτω τελοῖ καὶ τελώνας εἰσόδῳ
πάντα προθύμως τῷ θεῷ δωρουμένους
καὶ προσθέτω Ζακχαῖος, ὃς πλοῦτον κακῶς
οἴκτῳ πενήτων τῶν τε ἠδικημένων
πλουτεῖ τὸ πένεσθαι καὶ ῥύπου καθαίρεται.
εἶεν, τὰ μὲν δὴ χρημάτων οὕτως ἔχει
τῆς δ' ἐγκρατείας μικρὰ μὲν τὰ τῶν πάλαι
σοφῶν παρ' Ἕλλησί τε καὶ γῇ βαρβάρων,
καὶ βαρβάροις γὰρ τῆς ἀρετῆς ἦν τίς λόγος,
τί χρὴ δ' ἀφ' ἡμῶν οἷα καὶ ὅσα γράφειν,
πᾶσιν γάρ ἐστι περιφανῆ καὶ γνώριμα.
ἤκουσα τοῦτο τῆς σοφῆς τραγῳδίας·
γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν
ἐν πλησμονῇ τοι κύπρις, ἐν πεινῶσι δ' οὔ.
παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον·
πληροῦται δ' ἐρρὶν κηρίων εἴτ' ἀλφίτων
οὐδὲν διοίσει ταῦτα γαστρὸς ἐν μυχούς·
πίθῳ δ' ἐπαντλεῖν ἐκρέοντι, τίς χάρις·
γαστὴρ δ' ἄναλτος εὗρε καὶ νεῶν δρόμους·

ἄλλοις δ᾽ ἐπ᾽ ἄλλοις ἐμμανεῖς ἐξώπλισεν·
ἅπαντα δ᾽ ἔρριψεν εἰς βυθὸν τὰ τίμια
τῶν γαστριμάργων σῖτα· μηδὲ σῖτ᾽ ἔτι,
τῶν εὐτελεστάτων λέβητος ἐξ ἑνὸς
ὀρθῶς λέγει ποῦ κερκιδᾶς ὁ φίλτατος
τέλος τρυφώντων, αὐτὸς ἐσθίων ἅλας,
αὐτῆς τρυφῆς ἐσθ᾽· ἁλμυρὸν καταπτύων·
τίς δ᾽ οὐκ ἐπαινεῖ τὸν τρυφῶντι τῷ νέῳ
φήσαντα· παῦσαι προστιθεὶς σοῦ τὰς παῖδας
ἐξαγριῶν τε τὸ ἀπαραστον θηρίον·
κἀκεῖνο δ᾽ οἷον στωϊκῶν τῶν φιλτάτων.
ὡς ἄλλος ἄλλῳ σαρκίῳ τίς προσλαλῶν.
τί σοι χρεὼς ᾦ φησὶν ἄθλιον δέρας,
φαγεῖν; μέγιστον ἄρτος ἐνδεῶς δοθείς.
πιεῖν; ὕδωρ σοι δώσομεν, καὶ ὀξίνην.
οὐ ταῦτα μ᾽ αἰτεῖς· τὰ τρυφῆς δὲ καὶ κόρου
κρυσταλλίνων τε ἁβρότητ᾽ ἐκπωμάτων;
λίαν ἑτοίμως δώσομεν ἀλλ᾽ αἰσχύνην.
ταῦτ᾽ οὐκ ἀμείνω τῶν πάλαι βλακευμάτων
σαρδαναπάλου τοῦ νίνου; ὃς ὢν ποτέ,
πλούτῳ τε λαμπρὸς καὶ τρυφῇ διεφθορὼς
ἐβούλετ᾽ αὐτῷ καὶ γεράνου μηκίστερον
λαιμὸν γενέσθαι, ἡδονῆς μακρᾶς χάριν.
ὦ θεῖε δαβίδ· σοὶ δὲ διψῶντι φρέαρ
γῆς ἀλλοφύλων καὶ ποτὸν κρατούμενον·
ἐπεὶ δι᾽ αἱμάτων τε καὶ μάχης τινὲς
ὑπηρετοῦντο τῷ πόθῳ χερσὶν λαβὼν
ἔσπεισας ὕδωρ οὐ γὰρ ἐξ ἀλλοτρίων

κακῶν

κακῶν ἐδέξω τὸν σὸν ἐκπλῆσαι πόθον·
εἰ δ' ἀγγέλων τὶς ἄρχος ἢ λόγου τροφὴ,
ἀσώματον φύσιν γὰρ οὐ σῶμα τρέφει.
ὅσοι παρ' ἡμῖν ἀγγέλων ζῶσιν βίον
ἀντιθῆρσι μικροῖς τοῦ βίου κρατούμενοι
καὶ τοῦτ' ἄκοντες δόγματος θείου χάριν,
δεῖ γὰρ δεδέσθαι· μέχρις ἐκλύσῃ θεός
ἐῶ τὰ βίβλων καὶ τὰ τῶν πάλαι λέγειν·
ὅσοι καθάρσει σωμάτων θεούμενοι
τροφῆς ἄγευστοι ἡμέρας καὶ πλείονας
διῆλθον ὥσπερ σωμάτων ἐλεύθεροι
πυρὸς δ' ἀπειλὴν καὶ λεόντων χάσματα
ἤνεγκαν· ὥς τε μὴ βέβηλον ἐν ξένῃ
τροφὴν προσέσθαι βαρβάρων προστάγματι,
ἀφ' οὗ δὲ χειρὶ σῷ συμπλακεὶς ὁ δυσμενής,
ἀπῆλθε σαρκὸς εὐγενοῦς ἡττημένος
ἐκ τετταράκοντ' ἀσιτίας νυχθημέρων.
ὡς μᾶλλον αἰσχύνοιτο τῆς πείρας σφαλεὶς,
νόμος προῆλθε τῆς φίλης κενώσεως
ἐν τοῖς ἀγῶσιν· ὢ σοφοῦ παλαίσματος
καὶ τῶν ἀνέμων ἐνθέων τε θυμάτων
ἅπας ὁ κόσμος καλλιερεῖ τῷ δεσπότῃ
θύοντες· οὐ μόσχους τε τῷ πάλαι νόμῳ.
οὐδ' ἄρνας· οὐδ' ἔξωθεν εἰς φοράν τινα
τῶν οὐ τελείων. πᾶν γὰρ ἄλογον ἐνδεές.
αὐτοὶ δ' ἑαυτῶν τῆξιν ἐμμέτρῳ τροφῇ
τὸ μὴ τρυφᾶν τρυφῶντες· ὢ ξένης τρυφῆς·
ναοὺς καθαίροντες τῷ θεῷ πυρώμενοι

ἀγρυπνίαις τε παννύχοις ὑμνῳδίαις,
ἐκδημίαις τε τοῦ νοὸς πρὸς νοῦν μέγαν·
ζῶντες τοσοῦτον ἐν σκιαῖς καὶ φάσμασιν
ὅσον τὰ κρυπτὰ τοῖς ὁρωμένοις λαβεῖν
ἐντεῦθεν, οἱ μὲν δέσμιον σαρκὸς πάχος
θέντες σίδηρον, τὸν κόρον κατέσβεσαν.
οἱ δὲ ζόφῳ τε καὶ στενοῖς οἰκήμασιν
ἢ ῥήγμασι κλεισθέντες ἀγρίων πετρῶν
βλάβην ἐπέσχον τῶν πλάνων αἰσθήσεων,
ἄλλοι δ' ἐρημίαις τε καὶ θηρῶν νάπαις
τὴν θηριώδη τοῦ φυγεῖν ἁμαρτίαν
αὐτοὺς ἔδωκεν· ἔκφυλον ζῶντες βίον.
τοῦ θ' ὃ βλέπουσι κόσμον εἰδότες μόνον.
σάκκῳ τις ἄλλος καὶ σποδῷ καὶ δακρύοις,
εἵλκεσεν οἶκτον· καὶ χαμευνίας πόνῳ,
στάσει τε νυκτῶν ἡμερῶν τε πλειόνων·
μειῶν τὸ μεῖζον, εἰ δὲ εἴποι με· χρόνων,
ἄπιστον ἐστὶ πλὴν ἐμοὶ πιστὸν λίαν·
ὅσοι τ' ἐπόπται τῶν φίλων τοῦ θαύματος·
πίστις γὰρ ἐστήλωσε καὶ φόβος θεοῦ,
τὸν νοῦν πρόωρον ἁρπάσας τῶν σωμάτων,
ξένον δ' ἀκούσῃ, καὶ ποτοῦ καὶ σιτίων,
ὄψον σποδόν τε καὶ δάκρυον μεμιγμένον,
ἄναρτον· ὡς ἄνυδρον· οἱ δ' ἄλλοι βίον
ἅ μοι δοκοῦσι καὶ φύσεως νικᾶς νόμους,
ζήλου φέροντος ἄχεις ἐκ τόπων ὁδῶν,
τί ταῦτα τὸν λεὼ καὶ θαυμάζεις κόρας,
τὰς τῶν ἀθλίων περισφιγείσας ἀσμένως;

μενοικέως τὲ τὴν πρόθυμον εἰς φορὰν
θηβῶν ὑπερθανόντος ὡς σόσῃ πόλιν;
κλεομβρότου τὲ τοῦ σοφοῦ τὸ τίμιον.
πήδημ᾽ ἀφ᾽ ὕψους ὡς ἀπέλθοι σώματος·
ἐπεὶ πλάτωνος τὸν περὶ ψυχῆς λόγῳ
πεισθεὶς, ἔρωτι λύσεως κατεχέθη;
λέγεις ἐπικτήτου τὲ τὸ κλασθὲν σκέλος·
πρὶν ἤτι ῥῆξαι ῥῆμα δοῦλον τῆς βίας;
εἶναι γὰρ εἶναι τ᾽ ἀνδρὸς ὡς ἀκούομεν,
τὸ σῶμα δοῦλον· τὸν τρόπον δ᾽ ἐλεύθερον.
πτισμόν τ᾽ ἐν ὅλμῳ τὸν ἀναξάρχου χερῶν
ὡς οὐ παρόντος καὶ κελεύοντος σφοδρῶς
πτίσσειν τὸν αὐτοῦ θύλακον. αὐτὸν γὰρ μένειν
ἄπτιστον ὅς τις ἐστίν, οὐχ ὁρώμενον;
καὶ σωκράτους τὸ κώνειον φιλοτησίαν
ξένην τοσούτων ἡδέως σοι προωμένην;
σὺ ταῦτ᾽ ἐπαινεῖς; καί τι κἀγώ, πλὴν ὅσον·
ἐν τοῖς ἀφύκτοις ἦσαν ἀνδρεῖοι κακοῖς,
τοῖς γὰρ θέλουσιν, οὐχ ὁρῶ σωτηρίαν,
ἐντεῦθεν ἐλθὲ πρὸς πάλιν τὴν ἔνθεον
ἐμῶν ἀθλητῶν· καί σε δινείτω φόβος
τύπον ἀκούοντά τε καὶ μεμνημένον·
οἵοις ὅσοις τε κινδύνοις ηὐξήσαμεν
χριστοῦ τὸ σεπτὸν καὶ νέον μυστήριον·
οἱ τοῦ καλεῖσθ᾽ ἐκεῖθεν ἠξιωμένοι,
πολλοὺς γὰρ ἡμῖν πολλάκις τε τοῦ φθόνου
ζέσαντος ἐχθροὺς καὶ διώκτας τοῦ λόγου
θυμὸν πνέοντας, θῆρας ἠγριωμένους,

οὐ πώποθ' ἡμεῖς εἴξαμεν καιροῦ ῥοπαῖς·
ἀλλ' εἴ τι καὶ ῥάθυμον εἰρήνη προσῆν·
εἴ τις κακὸς καὶ τἄλλα ὢν ἐτύγχανεν.
ἐνταῦθα πάντες ἐστομώθημεν θεῷ:
ζήλῳ δὲ πυρωθέντες ἐν πυρῷ, θράσος
ἐχθρῶν δεδείγμεθ' εὐκλεῶς ἡττώμενοι·
οὐδεὶς γὰρ οὕτως ἡδέως σωτηρίαν
κομίζεθ', ὡς ἡμεῖς γε κινδύνους καλούς·
τίς πῦρ, ξίφη, βάραθρα, λιμὸν, ἀγχόνην,
θῆρας φονῶντας, ὡς τρυφὴν ἐδέξατο.
στρεβλώματ', ἐξαρθρώματ' ὀμμάτων σβέσεις,
ξέσεις, σπαραγμοὺς, καὶ μελῶν λακκίσματα,
κρυμοὺς, βυθοὺς, ζόφους τε καὶ κρημνίσματα,
χρόνου τε μακροῦ ποικίλην τραγῳδίαν·
ὃ καὶ κακῶν χείριστον, εἰ δῶσι φράσω,
ἡ μὲν γὰρ ἀκμὴ τοῦ κακοῦ, λύσις φόβου.
τὸ προσδοκᾶν δ' ἀεί τι, πάσχειν ἔστ' ἀεί.
θνήσκειν τε πολλοὺς ἀνθ' ἑνὸς πικροὺς μόρους.
ἐῶ λέγειν φυγάς τε καὶ τὰς χρημάτων
ἀλλοτριώσεις, καὶ τὸ ταῦτ' ἐν ὄψεσιν
ἀνδρῶν, γυναικῶν, ἡλίκων, τέκνων, φίλων,
πάσχειν, ἃ κάμπτει καὶ τὸν ἀλκιμώτατον.
καὶ ταῦθ' ὑπὲρ τῆς συλλαβῆς ἴσως μιᾶς·
τί τοῦτο φημὶ συλλαβῆς, καὶ νεύματος
ἑνός· κακῶς σώζοντος ἐξ ἀρνήσεως.
θεὸς γάρ ἐστιν ἐν βραχεῖ τὸ κείμενον·
ὅν περ προδοῦσιν, ἄλλον οὐκ ἔστιν λαβεῖν·
τί δεῖ λόγων μοι πλειόνων, ἄγρον κύκλῳ

τὴν

τὴν ὄψιν ἀθρεῖ τὴν ὅλην οἰκουμένην
ὅσην κατέχει νῦν λόγος σωτήριος·
δήσας θεοῦ τε καὶ πάθη μεμιγμένος
μῖξιν ξένην τε καὶ θεοῦ πόρρω νόμων·
ταύτην καταστράπτουσιν ὥσπερ ἀστέρες
σχεδόν τι πᾶσαν· αἰθρίοις τε βήμασιν
ὑψωρόφοις θρόνοις τε καὶ διδάγμασιν
ἀθροίσμασίν τε καὶ δρόμοις πανεστίοις
ὑμνῳδίαις τε τῶν πόνων ἐπαξίαις,
οἱ τοῦ σφαγέντος εὐκλεεῖς νικηφόροι,
τοσοῦτον δ' ἐστὶν τῆς ἀληθείας σέβας,
ὡς καὶ κόνιν βραχεῖαν ἤ τι λείψανον
ὀστῶν παλαιῶν, ἢ τριχῶν μικρὸν μέρος,
ἢ καὶ ῥακώματ', ἤ τι καὶ ῥαντισμάτων
σημεῖον, ἀρκεῖν εἰς ὅλου τιμήν ποτε.
καὶ κλῆσιν ἐστὶν ἄλλων τοῦ ἀλείψανον,
τόποις δοθεῖσαν ἀνθ' ὅλου τοῦ μάρτυρος
ἰσχὺν τὴν ἴσην λαβοῦσαν ὦ τοῦ θαύματος·
σώζει γὰρ οἶμαι καὶ τὸ μεμνῆσθαι μόνον.
τί δ' εἰ λέγοιμι καὶ νόσων καὶ δαιμόνων
κάθαρσιν ἔνθεν ἄπιστον ἄχρι σημάτων
ἃ σωμάτων ποτ' ἠξιώθη τιμίων
ἀντιστατούντων πνευμάτων ἐπιδρομαῖς
τοιαῦτ' ἀθλητῶν τῶν ἐμῶν τὰ θαύματα.
παῖσαν δέ μοι σὺ καὶ κόνιν τὴν δελφικὴν,
αὐχεῖ νεμέαν τε καὶ πίτυν τὴν ἰσθμίαν·
δι' ὧν ἔφηβοι δυστυχεῖς ἔσχον κλέος.
ἄθλων τιθέντες μικρὰ καὶ μικρῶν γέρα,

πυγμῆς, πάλης τε καὶ δρόμου καὶ ἁλμάτων.
ἃ μήτε νικᾶν μή τε νικᾶσθαι μέγα.
οὐ γὰρ θεὸς τὸ ἆθλον ἡ σωτηρία,
ὡς τοῖς ἐμοῖς νόμοις τε καὶ παλαίσμασι,
τυχεῖν τε δόξης τῆς ἄνω καὶ στεμμάτων.
ἐπεὶ δὲ τὴν ἀνδρίαν ἐν τούτοις ἴδες.
ἣν καὶ μιμεῖσθαι ταῖς καθ᾽ ἡμέραν πάλαις,
πρὸς τὸν διώκτην τοῦ βάθους καὶ λάθριον
κλέπτοντα δεινῶς ταῖς πλάνοις αἰσθήσεσι
κράτιστον ἐστι καὶ λίαν σωτήριον.
δεῦρο σκόπει μοι καὶ τὰ τῆς αἰνουμένης
ἡμῖν μάλιστα σωφροσύνης, ἔχει δὲ πῶς.
εἰσὶν μὲν εἰσὶ καὶ παρ᾽ ἕλλησίν τινες
ταύτης ἐρασταὶ καὶ πάλαι καὶ νῦν ἔτι.
οὐ γὰρ ἀπιστήσω γε τοῖς θρυλουμένοις,
φθόνος γὰρ οὐδεὶς σωφρονεῖν καὶ τοὺς ξένους·
ξενοκράτην λέγουσιν, ὡς πόρνης τινὸς
οἴστρῳ σφριγώσης ἔκ τινων πεμπομένων·
καὶ γὰρ καθεύδων νυκτὸς ἡνίκ᾽ ἤσθετο,
οὔτ᾽ ἐπτοήθη τῷ ξένῳ τῆς ὕβρεως·
οὔτ᾽ ἐξανέστη ἢ φυγεῖν ἠνέσχετο.
ἄμφω γὰρ εἶναι δεύτερα ξενοκράτους,
οὕτω δ᾽ ἀκίνητός τε καὶ ἄτρωτος ἦν,
ὥς τ᾽ ἐκφυγοῦσαν ἀσμένως βοᾶν. τί με
νεκρῷ παραδυνάσαντες ἠπατήσατε.
ἐπίκουρος, ἡδονὴν μὲν ἠγωνίζετο
εἶναι τὸ ἆθλον τῶν ἐμοὶ πονουμένων·
εἰς ἣν τελευτᾶ πάντα τ᾽ ἀνθρώπων καλά·

ὡς ἂν δὲ μὴ δόξειεν ἡδονῇ τινὶ
ταύτην ἐπαινεῖν, κοσμίως καὶ σωφρόνως
ἔξη, βοηθῶν ἐκ τρόπου τῷ δόγματι·
οὐδ' ὁ Πολέμων ἔμοιγε συγηθήσεται·
καὶ γὰρ τὸ θαῦμα τῶν ἄγαν λαλουμένων.
ἦν μὲν τὸ πρόσθεν οὐδὲν οὐκ ἐν σώφροσι,
καὶ σφόδρα γ' αἰσχρὸς ἡδονῶν ὑπηρέτης,
ἐπεὶ δ' ἔρωτι τοῦ καλοῦ κατεσχέθη
σύμβουλον εὑρών· οὐκ ἔχω δ' εἰπεῖν τίνα.
εἴτ' οὖν σοφόν τιν' εἴθ' ἑαυτὸν, ἀθρόως,
τοσοῦτον ὤφθη τῶν παθῶν ἀνώτερος,
ὥς θ' ἕν τι θήσω τῶν ἐκείνου θαυμάτων
ἑταίραν εἰσεκάλει τίς ἀκρατὴς νέος,
ἡ δ' ὡς πυλῶνος ἦλθε φασὶ πλησίον
τῆς δ' ἦν προκύπτων Πολέμων ἐν εἰκόνι
ταύτην ἰδοῦσα· καὶ γὰρ ἦν σεβασμία
ἀπῆλθεν εὐθὺς καὶ θέας ἡττημένη.
ὡς ζῶντες ἐπαισχυνθεῖσα τὸν γεγραμμένον
καὶ τοῦτο πολλοῖς οἶδα τῶν λαλουμένων.
Δίων ἀνέπνει φασὶν οὐ μάλ' ἡδύ τι
τοῦτον λέγω Δίωνα, οὗ πολὺς λόγος,
καὶ τοῦτ' ἐκερτόμησε τῶν τις ἀστικῶν,
τὸν δ' ὡς ἰδεῖν· γυναῖκα τὴν αὐτοῦ· φράσαι
τί τοῦτο· οὐ γὰρ ἔφρασάς μοι τὴν νόσον
καὶ τὴν σὺν ὅρκῳ τοῦτο πάντων ἀρρένων
εἰπεῖν τὸ σύμπτωμ' ᾤομην, οὐ σοῦ μόνου.
τοσοῦτον ἀνδρῶν καὶ φίλων ἀποστατεῖν,
ὁ γὰρ λόγος, δήλωμα τοῦ σεμνοῦ τρόπου.

τίς δ' οὐκ ἐπαινεῖ τὴν ἀλεξάνδρου, τό τε
ὃς τὰς δαρείου παῖδας ὡς ἡττημένου
εἰς χεῖρας εἷλεν· εὐπρεπεῖς δ' εἶναι μαθὼν
τ' ἀνδρῶν κρατήσαντ' ἧσσον εἶναι παρθένων
ταῦτ' ἐστὶ τῶν ἐμῶν μὲν οὐδὲν πλησίον·
ὅμως δ' ἐπαινῶ· καὶ πόθεν λευκὴν ἰδεῖν
μορφὴν ἐν αἰθίοψιν, ἡλίκη χάρις·
ἢ καὶ θαλάσσης ἐν μέσῳ νᾶμα γλυκύ.
ὡς δ' ἐν πονηροῖς καὶ κακοῖς διδάγμασιν·
ἔχει τί σῶφρον· ἦ μεγίστου θαύματος·
ὧν γὰρ σεβάσματ' ἐστὶν ἐμπαθέστατα,
τούτοις τὸ πάσχειν δηλαδὴ καὶ τίμιον.
καὶ γὰρ θεόν τινες οὗ τὸ πάθος περίσταται
κακῷ βοηθῶ τοῦ κακοῦ κεχρημένοις·
τίνων ἔρωτες εἰπέ μοι καὶ ἀρρένων.
δεῖ γὰρ πλέον τί τοὺς θεοὺς ὑμῶν ἔχειν.
τίνων φρυγίσκοι μείρακες καὶ συμπόται
ἥδιστον νέκταρ οἰνοχοῦντες ἐκλύτως·
αἰσχύνομαι γὰρ τοῖς Διὸς μυστηρίοις
τίνων γάμων κλοπαί τε καὶ δεσμῶν ὕβρεις,
θέατρον αἰσχρὸν καὶ γέλως κεκλημένης·
πῶς πάντα ποιοῦσ' αἱ γυναῖκες τὸν δία,
ταῦρον, κεραυνόν, κύκλον, ἄνδρα, θηρίον,
χρυσὸν, δράκοντα, τὰς ἔρωτος ἐκτάσεις
τὸν ὕπατόν τε καὶ κακίστων μήστορα.
τίς ἡδονῶν δέσποιναν ἡγεῖται θεόν;
βωμούς τ' ἐγείρει καὶ ναοὺς παθήμασι,
τίνων δὲ νυκτὸς νυκτὸς ὄντως ἄξιαι.

σεμνῶς ἀτίμων συμβόλοις τιμώμεναι,
ἰθύφαλοί τε καὶ φαλοὶ γέλως μέσος,
θεὸν νεὸν μιγνύντες ἐν τοῖς πλάσμασιν·
ὃν καὶ λεγόντων ἐγκαλύπτεσθαι πρέπον,
ἑρμαφρόδιτοι πάντες ἀσχήμων γόνος·
θεῖοι τραγοσκελεῖς τε καὶ τράγοι τρόπον
παρ' οἷς γάμων χορεύουσι καὶ παρθένοι·
δεῖ γὰρ γάμου τι πάσχειν· εἰ καὶ μὴ γάμου.
παρ' οἷς γαμίζετ' αἱ καλαὶ τὰς οὐ καλὰς
συνεισφέρουσαι προῖκα, πορνείας πόρον,
ἡ αἰσχρότης δὲ δαιμόνων τιμή τινος,
ὡς μὴ δὲ τὸ φιλάνθρωπον, ἔρημον μένειν.
ἐντεῦθεν ἔσχεν αἰσχρὸ τῆς παῤῥησίαν
πόρνης τὲ γῆ μίσθωμαθ' ὕβρεις ἔννομος.
ταῖς σφῶν δ' ἑταίραις τὴν ἀφροδίτην οἱ σοφοὶ
μορφοῦσιν· ὡς θεοῖντο τῷ σοφίσματι
καὶ φειδία τὰ παιδικὰ ἐν τῷ δακτύλῳ
τῆς παρθένου γραφέντα πάντ' ἀρκεῖ καλῶς
ἐντεῦθεν ὡς ἀνδρεία καὶ στρατηγία,
λαμπραῖς γραφαῖς τε καὶ κρότοις καὶ συγγραφαῖς,
ὡς καὶ τὸ κοινὸν κάλλος ἄθρει μοι τόσας
πόρνας ναοῖς τὲ καὶ θεοῖς τιμωμένας,
εὔφρω φρύνην λέαιναν αἰγὸν θηρίον·
σεμνὸν γὰρ ἦν καὶ τοὔνομ' ἐν ναοῖς μέσοις
τὴν ἑλλάδος δέσποιναν, ἧς πολὺς λόγος
ἐξ ὑκκάρων φθαρεῖσαν αἰσχρὰν λαΐδα
ἄλλας τὲ πολλὰς, οὐ γὰρ ἀξιῶ λόγου.
τούτων μὲν οὖν βέλτιστ' ὥσπερ εὐφ.ὴς

ἀργυ-

ἀργυρογνώμων· εἴτι μὲν καλὸν, δέχου·
ἀπεκλέγου δ' ἃ μή σε ποιεῖ βελτίω
τοῖς σοῖς δὲ πᾶσι προσέχειν διδάγμασι,
τύπους τε ἀνδρῶν καὶ γυναικῶν σωφρόνων·
ὧν ἐλπίς ἐστι καὶ θεὸς διδάσκαλος
κρείσσους νόμους γράφοντες ὧν ἡ χεὶρ γράφει.
ἡμεῖς γὰρ ἐσμὲν οἱ τὸ μοιχεύειν κακὸν
ἄλλων τιθέντων καὶ κολαζόντων νόμῳ,
αὐτοὶ τὸ τούτου μεῖζον εἰσηγούμενοι,
μὴ δ' ἐμβλέπειν αἰσχρῶς τε καὶ παθητικῶς.
εἰς ἓν τιθέντες τῷ τέλει τὴν αἰτίαν
ὡς τῷ φονεύειν τὸν χόλον, παρ' οὗ φόνος
ὅρκου θ' ἑτοιμότητα τῇ ψευδορκίᾳ·
ὧν γὰρ κακόν τι χωρὶς οὐ γενήσεται
ταῦτ' οὐκ ἐῶντες. καὶ τὰ δεινὰ φεύγομεν.
οὕτως ἐμοὶ τὸ σῶφρον ἐστὶν ἀσφαλές.
ἐξ οὗ πολύς μοι καὶ χορὸς τῶν παρθένων
ζωὴν ἀσάρκων ἀγγέλων μιμούμενος,
θεοῦ τε τοῦ συνόντος αὐτῷ καὶ μόνου
ὅθεν τί γίνετ'. ἐς βίον τὸν δεύτερον
ἅπαντα συρρεῖν καὶ ποθεῖν μετάστασιν
δεσμῶν λυθέντα καὶ νόμων γαμηλίων.
ἐξ οὗ με Χριστὸς παρθένου μητρὸς τόκος
φανεὶς, νόμοις καὶ νοῖσι ποιεῖ παρθένον·
ἐπεὶ γὰρ ἦλθον εἰς βίον καὶ δέσμιος
ῥύσει τ' ἀρδοῦσα καὶ φθορᾷ τὰ τῆς φθορᾶς·
γνῶναι βιασθεὶς ὡς μάθω τὰ κρείσσονα
ἐκ τῶν ὁρωμένων τε καὶ πλανωμένων·

χαίρων

χαίρων ἐπανάγων πρὸς Θεὸν τὴν εἰκόνα,
ἐλευθέρῳ τὲ καὶ ἀσυνδέτῳ βίῳ
μὴ δὲν λελοιπῶς τῆς ἐμῆς ἴχνος δορᾶς
ἀσκόν τινες ἄλλον ἐν βίῳ φυσώμενον.
ὅλος θ᾽ ὅλῳ τὲ τῷ θεῷ κινούμενος
πολλῶν μετ᾽ ἄλλων γνησίων συνεμπόρων.
οἱ πρὸς μόνην βλέποντες ἣν ἐλπίζομεν
ζωήν, ἀνῆκαν οὐ κώμας οὐδ᾽ οὐσίας
θεῷ παρ᾽ οὗ τὰ πάντα· ὧν ἔχουσι δὲ
τὸ πρῶτον, ἁγνείαν τὲ καὶ ἀσαρκίαν.
τὰ ναζιραίων τῶν νέων συστήματα
πλήθοντα καὶ στίλβοντα τοῖς ἔνδον καλοῖς.
αἳ παρθένοι τιμῶσι μέχρις αἵματος
τί σοι λέγοιμ᾽ ἂν θέκλαν ἤ τιν᾽ ἤ τινάς·
ὅσαι θεῷ τὸ κάλλος ἐσφραγισμένον,
τηρεῖν θέλουσαι, κινδύνοις προσέδραμον·
τὸ δ᾽ οὖν ἀεὶ πᾶσιν τὲ γνωριμώτατον·
ὁρᾷς ἀγρύπνοις πρὸς θεὸν ψαλμῳδίας
ἀνδρῶν γυναικῶν, φύσεως λελησμένων,
οἵων θ᾽ ὅσων τὲ καὶ ὅσον θεσμένων
σύμφωνον ἀντίφωνον ἀγγέλων στάσιν·
διοσὴν ἄνω τὲ καὶ κάτω τεταγμένην
θείας ὑμνῳδὸν ἀξίας καὶ φύσεως;
οὕτω μὲν οὖν ἁγνεία σοι τιμητέα
λόγοις τοσούτοις καὶ τύποις· πρὸς οὓς βλέπων,
ἅγνιζε σαυτόν· ὡς θεοῦ δέξῃ νόμοις·
φρονήσεως δὲ πάντα μὲν τὰ τοῦ λόγου,
τὶ γὰρ φρονήσεως δίχα τῶν αἰνομένων.

πρῶτον

πρῶτον δὲ καὶ μέγιστον, εἰδέναι θεόν,
ἔργῳ λόγῳ τε γνησίως τιμώμενον.
πηγὴ γὰρ αὕτη πᾶσι καὶ σωτηρία·
θεὸς νοεῖται μὲν πιστίν· εἰ καὶ μετρίως·
ὑπ' οὐδενὸς δὲ φράζετ' οὐδ' ἀκούεται.
ὅσον πέρ ἐστι· κἄν τις οἴηται λίαν.
παρειστρέχει γὰρ ὡς ἀχλὺς τῷ σκέμματι
ἀεί τι τῶν ἐικῶν τε καὶ ὁρωμένων·
ὅπως ὑπερβὰς συγγένωμαι τῷ θεῷ·
ὡς καὶ κρατεῖσθαι καὶ πεπεῖσθαι τοῦτ' ἔχειν
ὅπερ λαβεῖν ἔσπευδον οὐ κάμνων ἔτι
θεὸν τὸ μὴ σέβειν μὲν βελτιώτατον,
μὴ δ' αἰτίαν τιν' εἰδέναι πρώτην ὅλων
ἐξῆς τὰ πάντα καὶ παρῆλθε καὶ μένει,
τάξει τ' ἀφράστῳ καὶ λόγῳ τηρούμενα.
ὃ δ' ἐστὶν οἷόν θ' εἰδέναι βλάβη φρενῶν
πλὴν εἰ καθ' ὑδάτων τίς ἡλίου σκιὰν
βλέπων, νομίζοι προσβλέπειν τὸν ἥλιον.
ἢ καὶ πυλῶνος κάλλος ἐκπεπληγμένος
τὸν δεσπότην οἴοιτο τῶν ἔνδον βλέπειν.
ἄλλος μὲν ἄλλου καὶ ποσῶς σοφώτερος,
ὃς πλεῖον αὐγῆς ἔσπασε πλείω βλέπων·
κάτω δ' ὅμως ἅπαντες ἀξίας θεοῦ·
ὃν φῶς καλύπτει οὐ σκότος περιίσταται.
ἢ καὶ ζόφον τέμνη τίς ἀντιστράπτεται.
τοῦ φωτὸς ἄκρου δευτέρῳ προυμήματι
διπλοῦν δ' ὑπερέχειν· οὐ μάλ' εὐπετὲς σκέπας·
ὃς πάντα πληροῖ καὶ ἄνω παντὸς μένει

ὃς

ὃς νοῦν σοφίζει· καὶ νόος φεύγει βολὰς
ἕλκον ἀεί με πρὸς ὕψος ὑπεκδρομεῖς
θεὸν μάλιστα καὶ νοεῖν με καὶ σέβειν
δεικνὺς τὸ φίλτρον ἐν ζέσει τῶν ἐντολῶν·
ζητεῖν δ' ὃ ἔστι μὴ δὲ πάντη μήδ' ἀεί
μή τε προχείρως πᾶσι γυμνοῦν τὸν λόγον.
τὸ μὲν λεγέσθω τοῦ θεοῦ καὶ σὺν φόβῳ
τὸ δ' ἔνδον ἔστω κείμενον, καὶ νῷ μόνον
σέβοιτο κρυπτὸν, ἀψόφως τιμώμενον·
τῶν δ' οὖς ἀνοίγοιτ' ἣν διδάσκη τίς λόγος,
ἥττων γὰρ οὖς· ἢ γλῶττα κίνδυνον φέρει.
τό δ' ὕστερον δεοίμεθ' ἐκμαθεῖν σαφῶς,
λυθέντος ἡμῖν τοῦ πάχους· νῦν δ' ὡς σθένος
σαυτὸν καθαίρειν καὶ νεοῦν λαμπρῷ βίῳ.
δέξει γὰρ οὕτω καὶ θεὸν νοούμενον·
θεὸν δὲ νῷ πρὸς τρέχειν ἅπας λόγος,
ἁγνοῦ γὰρ ἁγνός ἐστιν οἰκητήριον,
οἱ μὲν λογισμοὶ μικρὸν εἰς γνῶσιν θεοῦ·
λόγῳ γάρ ἐστι πᾶς λόγος ἀντίστατος
στρεπτὴν δὲ πίστιν ὁ ὑμὸς οὐκ ἔχει λόγος·
τό δ' ἐξέχεσθαι τοῦ λαλουμένου μέγα.
ὃς μὲν γὰρ ἠγάπησε, καὶ στερχθήσεται,
ὃς δ' ἠγάπηται, καὶ ἔνικον λαμβάνει·
οὗ δ' ἔστιν· οὐκ ἔνεστι μὴ φῶς τυγχάνειν·
φωτὸς δὲ πρῶτον αὐτὸ γιγνώσκειν τὸ φῶς.
οὕτω τὸ φίλτρον πρόξενον καὶ γνώσεως·
ἥδ' ἐς ἀμείνων εἰς ἀλήθειαν τρίβος,
ἃ ἐν λόγῳ τε καὶ στροφαῖς τιμωμένης.

ὁ δ'

ὃ δ' οὖν ἐφικτόν. τοῦτο καὶ δηλώσομεν.
ἄναρχος· ἀρχὴ πνεῦμα, τριὰς, ἡ μία.
ἀναίτιον, γεννητὸν, ἐκπορεύσιμον·
πατὴρ τὸ μὲν· τὸ δ' υἱὸς αὐτὸς καὶ λόγος.
τό δ' οὐ μὲν υἱός. πνεῦμα δ' οὐσίας μιᾶς.
εἷς ἐκ τριῶν θεός τε καὶ κοινὸν σέβας.
οἷς καὶ τὸ θνητὸν τῆς πλοκῆς ἐκλύομαι.
ταῦτ' ἦν σέβης μοι καὶ κρατῆς· σεμνῷ βίῳ
ῥίψας ἅπασαν τὴν κάτω βίου ζάλην,
λόγῳ τ' ἀληθεῖ καὶ μίσει τῶν πλασμάτων·
ἄνω τε τάξῃ καὶ γένοιό μοι πλέον,
ὡς ἂν τύχοιο πλείονος παῤῥησίας.

Τέλος.

Digitized by Google

ἀγρυπνίαις τὲ παννύχοις ὑμνῳδίαις,
ἐκδημίαις τε τοῦ νοὸς πρὸς νοῦν μέγαν·
ζῶντες τοσοῦτον ἐν σκιαῖς καὶ φάσμασιν
ὅσον τὰ κρυπτὰ τοῖς ὁρωμένοις λαβεῖν
ἐντεῦθεν, οἱ μὲν δέσμιον σαρκὸς πάχος
θέντες σίδηρον, τὸν κόρον κατέσβεσαν.
οἱ δὲ ζόφῳ τὲ καὶ στενοῖς οἰκήμασιν
ἢ ῥήγμασι κλεισθέντες ἀγρίων πετρῶν
βλάβην ἐπέσχον τῶν πλάνων αἰσθήσεων,
ἄλλοι δ᾽ ἐρημίαις τὲ καὶ θηρῶν νάπαις
τὴν θηλυώδη τοῦ φυγεῖν ἁμαρτίαν
αὐτοὺς ἔδωκεν· ἔκφυλον ζῶντες βίον.
τοῦ θ᾽ ὃ βλέπουσι κόσμον εἰδότες μόνον.
σάκκῳ τίς ἄλλος καὶ σποδῷ καὶ δακρύοις,
εἵλκυσεν οἶκτον· καὶ χαμευνίας πόνῳ,
στάσει τὲ νυκτῶν ἡμερῶν τε πλειόνων·
μικρῶν τὸ μεῖζον, εἰ δὲ εἴποι με χρόνων,
ἄπιστον ἐστὶ πλὴν ἐμοὶ πιστὸν λίαν·
ὅσοι τ᾽ ἐπόπται τῶν φίλων τοῦ θαύματος·
πίστις γὰρ ἐστήλωσε καὶ φόβος θεοῦ,
τὸν νοῦν πρόωρον ἁρπάσας τῶν σωμάτων,
ξένον δ᾽ ἀκούσῃ, καὶ ποτοῦ καὶ σιτίων,
ὄψον σποδόν τε καὶ δάκρυον μεμιγμένον,
ἄναρτον· ὡς ἄνυδρον· οἱ δ᾽ ἄλλοι βίον
ἅ μοι δοκοῦσι καὶ φύσεως νικᾶς νόμους,
ζήλου φέροντος ἄχρις ἐκ τόπων ὁδῶν,
τί ταῦτα τῷ λεῷ καὶ θαυμάζεις κόρας,
τὰς τῶν ἀθλίων προσφιγείσας ἀσμένως;

μόνοι

μενοικέως τε τὴν πρόθυμον εἰς φορὰν
θηβῶν ὑπερθανόντος ὡς σόσῃ πόλιν;
κλεομβρότου τε τοῦ σοφοῦ τὸ τίμιον.
πήδημ' ἀφ' ὕψους ὡς ἀπέλθοι σώματος·
ἐπεὶ πλάτωνος τῷ περὶ ψυχῆς λόγῳ
πεισθείς, ἔρωτι λύσεως κατεχέθη;
λέγεις ἐπικτήτου τε τὸ κλασθὲν σκέλος·
πρὶν ἤ τι ῥῆξαι ῥῆμα δοῦλον τῆς βίας;
εἶναι γὰρ εἶναι τ' ἀνδρὸς ὡς ἀκούομεν,
τὸ σῶμα δοῦλον· τὸν τρόπον δ' ἐλεύθερον.
πτισμόν τ' ἐν ὅλμῳ τὸν ἀναξάρχου χερῶν
ὡς οὐ παρόντος καὶ κελεύοντος σφοδρῶς
πτίσσειν τὸν αὐτοῦ θύλακον. αὐτὸν γὰρ μένειν
ἄπτιστον ὅς τις ἐστίν, οὐχ ὁρώμενον;
καὶ σωκράτους τὸ κώνειον φιλοτησίαν
ξένην τοσούτων ἡδέως σοι πωμένην;
σὺ ταῦτ' ἐπαινεῖς; καί τι κἀγώ, πλὴν ὅσον
ἐν τοῖς ἀφύκτοις ἦσαν ἀνδρεῖοι κακοῖς,
τοῖς γὰρ θέλουσιν, οὐχ ὁρῶ σωτηρίαν,
ἐντεῦθεν ἐλθὲ πρὸς πάλιν τὴν ἔνθεον
ἐμῶν ἀθλητῶν· καί σε δινείτω φόβος
τούτων ἀκούοντά τε καὶ μεμνημένον·
οἵοις ὅσοις τε κινδύνοις ηὐξήσαμεν
χριστοῦ τὸ σεπτὸν καὶ νέον μυστήριον·
οἱ τοῦ καλεῖσθ' ἐκεῖθεν ἠξιωμένοι,
πολλοὺς γὰρ ἡμῖν πολλάκις τε τοῦ φθόνου
ζέσαντος ἐχθροὺς καὶ διώκτας τοῦ λόγου
θυμὸν πνέοντας, θῆρας ἠγριωμένους,

οὐ πώποθ' ἡμεῖς εἴξαμεν καιροῦ ῥοπαῖς·
ἀλλ' εἴ τι καὶ ῥάθυμον εἰρήνη προσῆν·
εἴ τις κακὸς καὶ τἄλλα ὧν ἐτύγχανεν.
ἐνταῦθα πάντες ἐσμ' ὠθήμεν θεῷ:
ζήλῳ δὲ πυρωθέντες ἐν πύρῳ, θράσος
ἐχθρῶν δεδέγμεθ' εὐκλεῶς ἡττώμενοι·
οὐδεὶς γὰρ οὕτως ἡδέως σωτηρίαν
κομίζεθ', ὡς ἡμεῖς γε κινδύνους καλούς·
τίς πῦρ, ξίφη, βάραθρα, λιμὸν, ἀγχόνην,
θῆρας φονῶντας, ὡς τρυφὴν ἐδέξατο.
στρεβλώματ', ἐξαρθρώματ' ὀμμάτων σβέσεις,
ζέσεις, σπαραγμοὺς, καὶ μελῶν λακκίσματα,
κρυμοὺς, βυθοὺς, ζόφους τε καὶ κρημνίσματα,
χρόνου τε μακροῦ ποικίλην τραγῳδίαν·
ὃ καὶ κακῶν χείριστον, εἰ δεῖ σοι φράσω,
ἡ μὲν γὰρ ἀκμὴ τοῦ κακοῦ, λύσις φόβου.
τὸ προσδοκᾶν δ' ἀεί τι, πάσχειν ἐστ' ἀεί.
θνήσκειν τε πολλοὺς ἀνθ' ἑνὸς πικροὺς μόρους.
ἐῶ λέγειν φυγάς τε καὶ τὰς χρημάτων
ἀλλοτριώσεις, καὶ τὸ ταῦτ' ἐν ὄψεσιν
ἀνδρῶν, γυναικῶν, ἡλίκων, τέκνων, φίλων,
πάσχειν, ἃ κάμπτει καὶ τὸν ἀλκιμώτατον.
καὶ ταῦθ' ὑπὲρ τῆς συλλαβῆς ἴσως μιᾶς·
τί τοῦτο φημὶ συλλαβῆς, ἢ νεύματος
ἑνός· κακῶς σώζοντος ἐξ ἀρνήσεως.
θεὸς γάρ ἐστιν ἐν βραχεῖ τὸ κείμενον·
ὅν περ προδοῦσιν, ἄλλον οὐκ ἔστιν λαβεῖν·
τί δεῖ λόγων μοι πλειόνων, ἄρον κύκλῳ

τὴν ὄψιν ἀθρόα τὴν ὅλην οἰκουμένην
ὅσην κατέσχε νῦν λόγος σωτήριος·
δήσας θεοῦ τε καὶ πάθους μεμυημένος
μῖξιν ξένην τε καὶ θεοῦ πόῤῥω νόμων·
ταύτην καταστράπτουσιν ὥσπερ ἀστέρες
σχεδόν τι πᾶσαν· αἰθρίοις τε βήμασιν
ὑψορόφοις θρόνοις τε καὶ διδάγμασιν
ἀθροίσμασίν τε καὶ δρόμοις παντοίοις
ὑμνῳδίαις τε τῶν πόνων ἐπαξίαις,
οἱ τοῦ σφαγέντος εὐκλεεῖς νικηφόροι,
τοσοῦτον δ' ἐστὶν τῆς ἀληθείας σέβας,
ὡς καὶ κόνιν βραχεῖαν ἤ τι λείψανον
ὀστῶν παλαιῶν, ἢ τριχῶν μικρὸν μέρος,
ἢ καὶ ῥακώματ', ἤ τι καὶ ῥαντισμάτων
σημεῖον, ἀρκεῖν εἰς ὅλου τιμήν ποτε.
καὶ κλῆσιν ἐστιν αἵμων τῶν ἀλείψανον,
τόποις δοθεῖσαν ἀνθ' ὅλου τοῦ μάρτυρος
ἰσχὺν τὴν ἴσην λαβοῦσαν ὦ τοῦ θαύματος·
σώζει γὰρ οἶμαι καὶ τὸ μεμνῆσθαι μόνον.
τί δ' εἰ λέγοιμι καὶ νόσων καὶ δαιμόνων
κάθαρσιν ἔνθεν ἄπιστον ἄχει σημάτων
ἃ σωμάτων ποτ' ἠξιώθη τιμίων
ἀντιστατούντων πνευμάτων ἐπιδρομαῖς
τοιαῦτ' ἀθλητῶν τῶν ἐμῶν τὰ θαύματα.
πίσαν δέ μοι σὺ καὶ κόνιν τὴν δελφικὴν,
αὐχεῖ· νεμέαν τε καὶ πίτυν τὴν ἰσθμίαν·
δι' ὧν ἔφηβοι δυστυχεῖς ἔσχον κλέος.
ἄθλων τιθέντες μικρὰ καὶ μικρῶν γέρα,

πυγμῆς, πάλης τε καὶ δρόμου καὶ ἁλμάτων.
ἃ μήτε νικᾶν μήτε νικᾶσθαι μέγα.
οὐ γὰρ θεὸς τὸ ἆθλον ἡ σωτηρία,
ὡς τοῖς ἐμοῖς νόμοις τε καὶ παλαίσμασι,
τυχεῖν τε δόξης τῆς ἄνω καὶ στεμμάτων.
ἐπεὶ δὲ τὴν ἀνδρίαν ἐν τούτοις ἴδες.
ἣν καὶ μιμεῖσθαι ταῖς καθ' ἡμέραν πάλαις,
πρὸς τὸν διώκτην τοῦ βάθους καὶ λάθριον
κλέπτοντα δεινῶς ταῖς πλάνοις αἰσθήσεσι
κράτιστον ἐστι καὶ λίαν σωτήριον.
δεῦρο σκόπει μοι καὶ τὰ τῆς αἰνουμένης
ἡμῖν μάλιστα σωφροσύνης, ἔχει δὲ πῶς.
εἰσὶν μὲν εἰσὶ καὶ παρ' ἕλλησίν τινες
ταύτης ἐρασταὶ καὶ πάλαι καὶ νῦν ἔτι.
οὐ γὰρ ἀπιστήσω γε τοῖς θρυλουμένοις,
φθόνος γὰρ οὐδεὶς σωφρονεῖν καὶ τοὺς ξένους·
ξενοκράτην λέγουσιν, ὡς πόρνης τινὸς
οἱ προσερειφείσης ἔκ τινων πεμπομένων·
καὶ γὰρ καθεύδων νυκτὸς ἡνίκ' ἤσθετο,
οὔτ' ἐπτοήθη τῷ ξένῳ τῆς ὕβρεως·
οὔτ' ἐξανέστη ἢ φυγεῖν ἠνέσχετο.
ἄμφω γὰρ εἶναι δεύτερα ξενοκράτους.
οὕτω δ' ἀκίνητός τε καὶ ἄζωτος ἦν,
ὥς τ' ἐκφυγοῦσαν ἀσμένως βοᾶν. τί με
νεκρῷ παροινάσαντες ἠπατήσατε.
ἐπίκουρος, ἡδονὴν μὲν ἠγωνίζετο
εἶναι τὸ ἆθλον τῶν ἐμοὶ πονουμένων·
εἰς ἣν τελευτᾷ πάντα τ' ἀνθρώπων καλά.

ὡς ἂν

ὡς ἂν δὲ μὴ δόξειεν ἡδονῇ τινὶ
ταύτην ἐπαινεῖν, κοσμίως καὶ σωφρόνως
ἔξη, βοηθῶν ἐκ τρόπου τῷ δόγματι·
οὐ δ' ὁ Πολέμων ἔμοιγε σιγηθήσεται·
καὶ γὰρ τὸ θαῦμα τῶν ἄγαν λαλουμένων.
ἦν μὲν τὸ πρόσθεν οὐδὲν οὐκ ἐν σώφροσι,
καὶ σφόδρα γ' αἰσχρὸς ἡδονῶν ὑπηρέτης,
ἐπεὶ δ' ἔρωτι τοῦ καλοῦ κατεσχέθη
σύμβουλον εὑρών· οὐκ ἔχω δ' εἰπεῖν τίνα.
εἴτ' οὖν σοφόν τιν' εἴθ' ἑαυτόν, ἀθρόως,
τοσοῦτον ὤφθη τῶν παθῶν ἀνώτερος,
ὥς θ' ἕν τι θήσω τῶν ἐκείνου θαυμάτων
ἑταίραν εἰσεκάλει τίς ἀκρατὴς νέος,
ἡ δ' ὡς πυλῶνος ἦλθε φασὶ πλησίον
τῆς δ' ἦν προκύπτων Πολέμων ἐν εἰκόνι
ταύτην ἰδοῦσα· καὶ γὰρ ἦν σεβασμία
ἀπῆλθεν εὐθὺς καὶ θέας ἡττημένη.
ὡς ζῶντες ἐπαισχυνθεῖσα τὸν γεγραμμένον
καὶ τοῦτο πολλοῖς οἶδα τῶν λαλουμένων.
Δίων ἀνέπνει φασὶν οὐ μάλ' ἡδύ τι
τοῦτον λέγω Δίωνα, οὗ πολὺς λόγος,
καὶ τοῦτ' ἐκερτόμησε τῶν τις ἀστικῶν,
τὸν δὴ ὡς ἰδεῖν· γυναῖκα τὴν αὐτοῦ· φράσον
τί τοῦτο· οὐ γὰρ ἔφρασάς μοι τὴν νόσον
καὶ τὴν σὺν ὅρκῳ τοῦτο πάντων ἀρρένων
εἰπεῖν τὸ σύμπτωμ' ᾠόμην, οὐ σοῦ μόνου.
Τοσοῦτον ἀνδρῶν καὶ φίλων ἀποστατεῖν,
ὁ γὰρ λόγος, δήλωμα τοῦ σεμνοῦ τρόπου.

τίς δ' οὐκ ἐπαινεῖ τὴν ἀλεξάνδρου, τό τε
ὃς τὰς δαρείου παῖδας ὡς ἡττημένου
εἰς χεῖρας εἷλεν· εὐπρεπεῖς δ' εἶναι μαθὼν
τ' ἀνδρῶν κρατήσαντ' ἧσσον εἶναι παρθένων
ταῦτ' ἐστὶ τῶν ἐμῶν μὲν οὐδὲν πλησίον·
ὅμως δὲ ἐπαινῶ· καὶ πόθεν λευκὴν ἰδεῖν
μορφὴν ἐν αἰθίοψιν, ἡλίκη χάρις·
ἢ καὶ θαλάσσης ἐν μέσῳ νᾶμα γλυκύ.
ὡς δ' ἐν πονηροῖς καὶ κακοῖς δαίμοσιν·
ἔχει τί σῶφρον· ἢ μεγίστου θαύματος·
ὧν γὰρ σεβάσματ' ἐστὶν ἐμπαθέστατα,
τούτοις τὸ πάσχειν δηλαδὴ καὶ τίμιον.
καὶ γὰρ θεόν τινες οὗ τὸ πάθος περίστατον
κακῷ βοηθῷ τοῦ κακοῦ κεχρημένοις·
τίνων ἔρωτες εἰπέ μοι καὶ ἀῤῥένων.
δεῖ γὰρ πλέον τί τοὺς θεοὺς ὑμῶν ἔχειν.
τίνων φρυγίσκοι μείρακες καὶ συμπόται
ἥδιστον νέκταρ οἰνοχοῦντες ἐκλύτως·
αἰσχύνομαι γὰρ τοῖς Διὸς μυστηρίοις
τίνων γάμων κλοπαί τε καὶ δεσμῶν ὕβρεις,
θέατρον αἰσχρὸν καὶ γέλως κεκλημένης·
πῶς πάντα ποιοῦσ' αἱ γυναῖκες τὸν δία,
ταῦρον, κεραυνόν, κύκλον, ἄνδρα, θηρίον,
χρυσὸν, δράκοντα, τὰς ἔρωτος ἐκτάσεις
τὸν ὕπατόν τε καὶ κακίστων μήστορα·
τίς ἡδονῶν δέσποιναν ἡγεῖται θεόν;
βωμούς τ' ἐγείρει καὶ ναοὺς παθήμασι,
τίνων δὲ νυκτὸς νυκτὸς ὄντως ἄξιαι.

Digitized by Google

σεμνῶς ἀτίμων συμβόλοις τιμώμεναι,
ἰθύφαλοί τε καὶ φαλοὶ γέλως μέσος,
θεὸν νεὸν μιγνύντες ἐν τοῖς πλάσμασιν·
ὃν καὶ λεγόντων ἐγκαλύπτεσθαι πρέπον,
ἑρμαφρόδιτοι πᾶνες ἀσχήμων γόνος·
θεῖοι τραγοσκελεῖς τε καὶ τράγοι τρόπον
παρ' οἷς γάμων χορεύουσι καὶ παρθένοι·
δεῖ γὰρ γάμου τι πάσχειν· εἰ καὶ μὴ γάμου.
παρ' οἷς γαμίζετ' αἱ καλαὶ τὰς οὐ καλὰς
συνεισφέρουσαι προῖκα, πορνείας πόρον,
ἡ αἰσχρότης δὲ δαιμόνων τιμή τινος,
ὡς μὴ δὲ τὸ φιλάνθρωπον, ἔχημον μένειν.
ἐντεῦθεν ἔχεν αἰσχρὸ τῆς παῤῥησίαν
πόρνης τε γῆ μίσθωμαθ' ὕβρεις ἔννομος.
Ταῖς σφῶν δ' ἑταίραις τὴν ἀφροδίτην οἱ σοφοὶ
μορφοῦσιν· ὡς θεοῖντο τῷ σοφίσματι
καὶ φειδία τὰ παιδικὰ ἐν τῷ δακτύλῳ
τῆς παρθένου γραφέντα πάντ' ἀρκεῖ καλῶς.
ἐντεῦθεν ὡς ἀνδρεία καὶ στρατηγία,
λαμπραῖς γραφαῖς τε καὶ κρότοις καὶ συγγραφαῖς,
ὡς καὶ τὸ κοινὸν κάλλος ἄθρει μοι τόσας
πόρνας ναοῖς τε καὶ θεοῖς τιμωμένας,
εὔφρω φρύνην λέαιναν αἶγον θηρίον·
σεμνὸν γὰρ ἦν καὶ τοὔνομ' ἐν ναοῖς μέσοις
τὴν ἑλλάδος δέσποιναν, ἧς πολὺς λόγος
ἐξ ὑκκάρων φθαρεῖσαν αἰσχρὰν λαΐδα
ἄλλας τε πολλὰς, οὐ γὰρ ἀξιῶ λόγου.
τύπων μὲν οὖν βέλτιστ' ὥσπερ εὐφυὴς

ἀργυ-

ἀργυρογνώμων· εἴ τι μὲν καλὸν, δέχου·
ἀπεκλέγου δ' ἃ μή σε ποιεῖ βελτίω
τοῖς σοῖς δὲ πᾶσι προσέχειν διδάγμασι,
τύποις τὲ ἀνδρῶν καὶ γυναικῶν σωφρόνων·
ὧν ἐλπίς ἐστι καὶ θεὸς διδάσκαλος
κρείσσους νόμους γράφοντες ὧν ἡ χεὶρ γράφει.
ἡμεῖς γὰρ ἐσμὲν οἱ τὸ μοιχεύειν κακὸν
ἄλλων τιθέντων καὶ κολαζόντων νόμῳ,
αὐτοὶ τὸ τούτου μεῖζον εἰσηγούμενοι,
μὴ δ' ἐμβλέπειν αἰσχρῶς τὲ καὶ παθητικῶς.
εἰς ἓν τιθέντες τῷ τέλει τὴν αἰτίαν
ὡς τῷ φονεύειν τὸν χόλον, παρ' οὗ φόνος
ὅρκου θ' ἑτοιμότητα τῇ ψευδορκίᾳ·
ὧν γὰρ κακόν τι χωρὶς οὐ γενήσεται
ταῦτ' οὐκ ἐῶντες. καὶ τὰ δεινὰ φεύγομεν.
οὕτως ἐμοὶ τὸ σῶφρον ἐστὶν ἀσφαλές.
ἐξ οὗ πολύς μοι καὶ χορὸς τῶν παρθένων
ζωὴν ἀσάρκων ἀγγέλων μιμούμενος,
θεοῦ τὲ τοῦ συνόντος αὐτῷ καὶ μόνου
ὅθεν τί γίνετ'. ἐς βίον τὸν δεύτερον
ἅπαντα συῤῥεῖν καὶ ποθεῖν μετάστασιν
δεσμῶν λυθέντα καὶ νόμων γαμηλίων.
ἐξ οὗ με χριστὸς παρθένου μητρὸς τόκος
φανεὶς, νόμοις καινοῖσι ποιεῖ παρθένον·
ἐπεὶ γὰρ ἦλθον εἰς βίον καὶ δέσμιος
ῥύσει τ' ἀροῦσα καὶ φθορᾷ τὰ τῆς φθορᾶς·
γνῶναι βιασθεὶς ὡς μάθω τὰ κρείσσονα
ἐκ τῶν ὁρωμένων τὲ καὶ πλανωμένων·

χαίρων

χαίρων ἐπανάγων πρὸς θεὸν τὴν εἰκόνα,
ἐλευθέρῳ τε καὶ ἀσυνδέτῳ βίῳ
μὴ δεῖν λελοιπῶς τῆς ἐμῆς ἴχνος δορᾶς
ἀσκόν τινες ἄλλον ἐν βίῳ φυσώμενον.
ὅλος θ᾽ ὅλῳ τε τῷ θεῷ κινούμενος
πολλῶν μετ᾽ ἄλλων γνησίων συνεμπόρων.
οἳ πρὸς μόνην βλέποντες ἣν ἐλπίζομεν
ζωήν, ἀνῆκαν οὐ κώμας οὐδ᾽ οὐσίας
θεῷ παρ᾽ οὗ τὰ πάντα· ὧν ἔχουσι δὲ
τὸ πρῶτον, ἁγνείαν τε καὶ ἀσαρκίαν.
τὰ ναζιραίων τῶν νέων συστήματα
πλήθοντα καὶ στίλβοντα τοῖς ἔνδον καλοῖς.
αἳ παρθένοι τιμῶσι μέχρις αἵματος
τί σοι λέγοιμ᾽ ἂν θέκλαν ἤ τιν᾽ ἢ τινάς·
ὅσαι θεῷ τὸ κάλλος ἐσφραγισμένον,
τηρεῖν θέλουσαι, κινδύνοις προσέδραμον·
τὸ δ᾽ οὖν ἀεὶ πᾶσιν τε γνωριμώτατον·
ὁρᾷς ἀγρύπνοις πρὸς θεὸν ψαλμῳδίας
ἀνδρῶν γυναικῶν, φύσεως λελησμένων,
οἵων θ᾽ ὅσων τε καὶ ὅσον θεσμένων
σύμφωνον ἀντίφωνον ἀγγέλων στάσιν·
διστὴν ἄνω τε καὶ κάτω τεταγμένην
θείας ὑμνῳδὸν ἀξίας καὶ φύσεως;
οὕτω μὲν οὖν ἁγνεία σοι τιμητέα
λόγοις τοσούτοις καὶ τύποις πρὸς οὓς βλέπων,
ἄγνιζε σαυτόν· ὡς θεοῦ δέξῃ νόμοις·
φρονήσεως δὲ πάντα μὲν τὰ τοῦ λόγου,
τί γὰρ φρονήσεως δίχα τῶν αἰνομένων.

πρῶτον

πρῶτον δὲ καὶ μέγιστον, εἰδέναι θεόν,
ἔργῳ λόγῳ τε γνησίως τιμώμενον.
πηγὴ γὰρ αὕτη πᾶσι καὶ σωτηρία·
θεὸς νοεῖται μὲν τισίν· εἰ καὶ μετρίως·
ὑπ' οὐδενὸς δὲ φράζετ' οὐδ' ἀκούεται.
ὅσον πέρ ἐστι· κἄν τις οἴηται λίαν.
παρειστρέχει γὰρ ὡς ἀχλὺς τῷ σκέμματι
ἀεί τι τῶν ἐικῶν τε καὶ ὁρωμένων·
ὅπως ὑπερβὰς συγγένωμαι τῷ θεῷ·
ὡς καὶ κρατεῖσθαι καὶ πεπεῖσθαι τοῦτ' ἔχειν
ὅπερ λαβεῖν ἔσπευδον οὐ κάμνων ἔτι
θεὸν τὸ μὴ σέβειν μὲν βελτιώτατον,
μὴ δ' αἰτίαν τιν' εἰδέναι πρώτην ὅλων
ἐξῆς τὰ πάντα καὶ περιῆλθε καὶ μένει,
τάξει τ' ἀφράστῳ καὶ λόγῳ τηρούμενα.
ὃ δ' ἐστὶν οἴεσθ' εἰδέναι βλάβη φρενῶν
πλὴν εἰ καθ' ὑδάτων τίς ἡλίου σκιὰν
βλέπων, νομίζοι προσβλέπειν τὸν ἥλιον.
ἢ καὶ πυλῶνος κάλλος ἐκπεπληγμένος
τὸν δεσπότην οἴοιτο τῶν ἔνδον βλέπειν.
ἄλλος μὲν ἄλλου καὶ ποσῶς σοφώτερος,
ὃς πλεῖον αὐγῆς ἔσπασε πλείω βλέπων·
κάτω δ' ὅμως ἅπαντες ἀξίας θεοῦ·
ὃν φῶς καλύπτει καὶ σκότος περιίσταται.
ἢ καὶ ζόφον τέμνη τίς ἀντιστράπτεται.
τοῦ φωτὸς ἄκρου δευτέρῳ περυμήματι
διπλοῦν δ' ὑπερέχειν· οὐ μάλ' εὐπετὲς σκέπας·
ὃς πάντα πληροῖ καὶ ἄνω παντὸς μένει

ὃς

ὃς νοῦν σοφίζει· καὶ νοὸς φεύγει βολὰς
ἕλκον ἀεί με πρὸς ὕψος ὑπεκδρομεῖς
θεὸν μάλιστα καὶ νοεῖν με καὶ σέβειν
δεικνὺς τὸ φίλτρον ἐν ζέσει τῶν ἐντολῶν·
ζητεῖν δ' ὅ ἐστι μὴ δὲ πάντῃ μή δ' ἀεί
μή τε προχείρως πᾶσι γυμνοῦν τὸν λόγον.
τὸ μὲν λεγέσθω τοῦ θεοῦ καὶ σὺν φόβῳ
τὸ δ' ἔνδον ἔστω κείμενον, καὶ ναὶ μόνον
σέβοιτο κρυπτὸν, ἀψόφως τιμώμενον·
τῷ δ' οὖς ἀνοίγοιτ' ἣν διδάσκῃ τίς λόγος,
ἥττων γὰρ οὖς· ἡ γλῶττα κίνδυνον φέρει.
τό δ' ὕστερον δεοίμεθ' ἐκμαθεῖν σαφῶς,
λυθέντος ἡμῖν τοῦ πάχους· νῦν δ' ὡς σθένος
σαυτὸν καθαίρειν καὶ νεοῦν λαμπρῷ βίῳ.
δέξει γὰρ οὕτω καὶ θεὸν νοούμενον·
θεὸν δὲ ναὶ πρὸς τρέχειν ἅπας λόγος,
ἁγνοῦ γὰρ ἁγνός ἐστιν οἰκητήριον,
οἱ μὲν λογισμοί μικρὸν εἰς γνῶσιν θεοῦ·
λόγῳ γάρ ἐστι πᾶς λόγος ἀντίσατο
στρεπτὴν δὲ πίστιν ὁ ὑμὸς οὐκ ἔχει λόγος·
τό δ' ἐξέρχεσθαι τοῦ λαλουμένου μέγα.
ὃς μὲν γὰρ ἠγάπησε, καὶ στερχθήσεται,
ὃς δ' ἠγάπηται, καὶ ἔνικον λαμβάνει·
οὗ δ' ἔστιν· οὐκ ἔνεστι μὴ φῶς τυγχάνειν·
φωτὸς δὲ πρῶτον αὐτὸ γιγνώσκειν τὸ φῶς.
οὕτω τὸ φίλτρον πρόξενον καὶ γνώσεως·
ἡδ' ἔστ' ἀμείνων εἰς ἀλήθειαν τρίβος,
ἣ ἐν λόγῳ τὲ καὶ στροφαῖς τιμωμένης.

ὃ δ' οὖν ἐφικτόν. τοῦτο καὶ δηλώσομεν.
ἄναρχος· ἀρχὴ πνεῦμα, τριὰς, τιμία.
ἀναίτιον, γεννητὸν, ἐκπορεύσιμον·
πατὴρ τὸ μέν· τὸ δ' υἱὸς αὐτὸς καὶ λόγος.
τό δ' οὐ μὲν υἱός. πνεῦμα δ' οὐσίας μιᾶς.
εἷς ἐκ τριῶν θεός τε καὶ κοινὸν σέβας.
οἷς καὶ τὸ θνητὸν τῆς πλοκῆς ἐκλύομαι.
ταῦτ' ἢν σέβης μοι καὶ κρατῆς· σεμνῷ βίῳ
ῥίψας ἅπασαν τὴν κάτω βίου ζάλην,
λόγῳ τ' ἀληθεῖ καὶ μίσει τῶν πλασμάτων·
ἄνω τε τάξῃ καὶ γένοιό μοι πλέον,
ὡς ἂν τύχοιο πλείονος παῤῥησίας.

Τέλος.

99 95.1094